
Alphеus Felch

Oct 9th 1821

[illegible]


ΚΕΒΗΤΟΣ
ΠΙΝΑΞ

ΑΝΑΛΕΚΤΑ ʽΕΛΛΗΝΙΚΑ ʽΗΣΣΟΝΑ·

SIVE

Collectanea Græca Minora:

AD USUM

TIRONUM

ACCOMMODATA:

CUM

NOTIS PHILOLOGICIS

QUAS

PARTIM COLLEGIT, PARTIM SCRIPSIT

ANDREAS DALZEL, A.M. S.R.S. EDIN.

ET IN ACADEMIÂ JACOBI VI. SCOTORUM REGIS LITT. GR. PROF. EIDEMQUE A SECRETIS ET BIBLIOTHECARIUS.

ACCEDUNT

PARVUM LEXICON ET INDEX RERUM.

EDITIO QUARTA AMERICANA,

PRIORI EMENDATIOR.

CANTABRIGIÆ, NOV-ANG.

E typis Universitatis,

SUMPTIBUS J. A. CUMMINGS ET W. HILLIARD.

Hilliard et Metcalf Typographis.

MDCCCXIX.

DISTRICT OF MASSACHUSETTS, TO WIT:

District Clerk's Office.

BE IT REMEMBERED, That on the eleventh day of January, A. D. 1813, and in the thirty seventh year of the Independence of the United States of America, WILLIAM HILLIARD, of the said District, has deposited in this office the title of a Book, the right whereof he claims as Proprietor, in the words following, to wit:

"ΑΝΑΛΕΚΤΑ ἙΛΛΗΝΙΚΑ ἩΣΣΟΝΑ·

Sive Collectanea Græca Minora; ad usum Tironum accommodata; cum notis philologicis, quas partim collegit, partim scripsit Andreas Dalzel, A.M. S.R.S. Edin. et in academia Jacobi VI. Scotorum regis Litt. Gr. Prof. eidemque a secretis et bibliothecarius. Accedunt parvum lexicon et index rerum. Editio secunda Americana, ex quarta Edinensi priori emendatior, et Cebetis Tabulæ accessione aucta."

In conformity to the act of the Congress of the United States, entitled, "An act for the encouragement of learning, by securing the copies of maps, charts, and books, to the authors and proprietors of such copies, during the times therein mentioned;" and also to an act, entitled, "An act supplementary to an act, entitled, an act for the encouragement of learning, by securing the copies of maps, charts, and books, to the authors and proprietors of such copies, during the times therein mentioned; and extending the benefits thereof to the arts of designing, engraving, and etching historical and other prints."

W. S. SHAW,

Clerk of the District of Massachusetts.

AD LECTOREM

PRÆFATIO

SECUNDÆ EDITIONIS.

QUUM *Collectanea Græca Majora*, quorum tomus prior nuper prodiit iterùm, ad usum Juventutis Academicæ superioris ordinis adornata essent, nec nisi ab iis, qui mediocrem saltem progressum in hujus linguæ nobilissimæ studio jam fecerunt, commodè perlegi possint; alter libellus, ejusdem ferè generis, minoris tamen molis, atque ad usum juniorum Discipulorum accommodatior, adhuc desiderari videbatur.

In hoc igitur concinnando, id imprimis curæ fuit, ut, ex innumeris, quibus Græcarum Literarum abundant monumenta, eæ seligerentur Fabellæ atque Poëmatia quæ, inter laborem quem in discendo minutissimas linguæ tam copiosæ partes impendere necesse est, discipulorum animos jucunditate suâ ac varietate allicerent et delectarent. Quanquam autem auctores, è quibus decerpta sunt hæc αποσπασματια, non omnes optimis Græciæ seculis floruerint, eorum tamen stylus plerumque satis est elegans, nec est cur quis metuat ne discentium judicium de puro sermone Græco, nimiâ cum illis familiaritate corrumpatur.

INTERPRETATIONES perpetuæ, quæ Græcos libros comitari solent, hinc, quemadmodum ex *Analectis Majoribus* supra memoratis, omninò exulant; quia Tironum progressus non solum non promovere, sed multùm impedire inveniuntur. Ope autem *Annotationum*, *parvique Lexici* adjecti, quivis discipulus, dummodo diligentiam adhibeat, pulchreque calleat, uti debet, nominum flexiones verborumque conjugationes, nec sit ingenio planè crassissimo, quæ à perito præceptore prælecta fuerint penitùs perdiscere poterit. Nec dubitandum quin una prælectio, ita elaborata, ad Linguam Græcam rectè intel-

ligendam magis è re futura sit, quam multæ, perfunctoriè, ut vulgò fit, interpretationis Latinæ auxilio paratæ.

ANNOTATIONIBUS in singula Excerpta præfigitur auctoris vitæ, ejusque operum præcipuarum Editionum, brevis Notitia; quæ sit junioribus discipulis prima quasi Elementa ejus generis Scientiæ, ubi nemo, literis politioribus imbutus, hospes esse debet.

LEXICON parvum, è *Schrevelio* desumptum sed nonnihil emendatum et multis vocibus suppletum, ideo adjicere visum est, ut Tironibus, modico sumptu, nunquam non ad manus esset singularum vocum explicatio huic opusculo accommodata.

CÆTERUM hujusmodi laboribus—humillimis quidem illis! non autem inutilibus, si Juventuti ingenuæ ad cognitionem Linguæ Doctrinæque longè omnium elegantissimæ aditum minùs salebrosum reddere valuerint, te, Lector benevole, benignè fauturum speramus. Vale.

Edinburgi, è Coll. Jocobi VI.
Scotorum Regis, Kal. Feb.
MDCCXCI.

PRÆFATIO

EDITIONIS QUARTÆ.

POSTQUAM hic libellus tertiùm editus fuisset Edinburgi, nova ejus editio nuper prodiit Lipsiæ, curante Joanne Godofr. Grohmanno, in inclytâ Academiâ Lipsiensi Philosophiæ Professore. In hac visum est editori doctissimo notas contextui, ad usum commodiorem, subjicere; auctorum locutiones aliquas, quæ in notis Anglicè versæ legebantur, Latinè reddere: atque vocum analysin, quæ ibidem subindè occurrebat, in parvum Lexicon analyticum, paulò aliter quam id quod confeceram, constructum, transferre; in quo vocabulorum derivationes, rectiùs, ut ille arbitratur, ex aliis Lexicis petendas, omisit. Indicem autem rerum ad finem adjunxit.

Nequit mihi non esse gratissimum, quòd hic libellus non solum domi comprobatus fuerit, sed etiam in exteris regionibus, tanquam studiosæ Juventuti aliquid utilitatis afferens, jam cœperit innotescere; et magnæ quidem à me debentur gratiæ erudito Professori Lipsiensi, propter laborem, quem in hoc opusculo recoquendo et patriæ juventuti commendando, ponere haud gravatus sit. Græcum certè contextum diligenter accuravit, sublatis, quæ locis quibusdam in meas editiones irrepserant, erratis typographicis: quæque ego, ad illius exemplum, ex hac quoque editione tollenda curavi; atque indicem itidem rerum ab illo confectum libenter adoptavi.

Quæ verò in notis et lexico innovavit, quanquàm ea in melius mutata nonnullis videantur, tamen ut eum in hoc quoque imitarer mihi non potui persuadere; atque adeo in hac novâ editione eandem notarum et lexici formam quam antehac, materiâ tantùm in paucis emendatâ, retinui. Namque, inter docendum, dum discipuli alii aliam libelli formam in manibus haberent, magnum exinde incommodum oriturum, præsertim in locis per paginas indicandis, mihi visus sum prævidere. Præterea, cum notæ eo consilio exaratæ essent, ut auxilium

discipulis in praelectione discendâ domi praeberent, verebar ne, si hae oculis eorum inter examinandum in auditorio subjicerentur, tali illecebrae, dum loca difficiliora interpretarentur, resistere nequirent; atque ita satis se facere putarent, si, imprimis, sententiam Graecam, deinde, interpretationem ejus ultrò quasi se offerentem, legerent; quod, ut praeceptores benè nôrunt, usu venire solet discentibus, quando perpetua interpretatio Latina è regione vel infrà praesto iis adest; quodque, ut iidem quoque nôrunt, magno est rectae Linguae Græcæ intelligentiae impedimento. Neque ullam mutationem feci in Lexico, magis id analyticum reddendi gratiâ: Nam antequam hujus libelli lectionem tirones aggrediantur, nominum et verborum flexiones ad unguem callere, atque casum quemcunque nominis aut tempus verbi primo intuitu, vel saltem post iis indicatum nominis nominativum aut verbi praesens indicativi, dignoscere debent. Vocabulorum verò radices vel derivationes, quarum quippe matura cognitio tironibus utilissima sit, nequaquam hinc ablegandas duxi.

Quod ad quasdam phrases Graecas attinet, quae in notis Anglicè potius quam Latinè redditae inveniuntur, hanc secutus sum methodum, quando idioma vernaculum melius quam Latinum Graeco respondere videbatur; quas utinam Grohmannus non Latinè, sed vernaculè vel Gallicè, in suâ editione vertisset: Atque si unquam *Analecta mea Majora*, duobus tomis comprehensa, Lipsiae quoque, curâ ejusdem viri doctissimi, prodibunt, hoc ab eo factum forsan inveniemus. Interea hîc quidem lucem jam aspexit eorum Tomi prioris editio quarta, cum Appendice, in qua Subsidia quaedam selecta Linguae Graecae studiosis utilissima indicantur: Tomi autem posterioris editionem alteram emendatiorem propediem prodituram spero. Scripsi Edinburgi, Idibus Januar. A. D. MDCCCI.

Annotatio ad Secundam Editionem Americanam.

In hac editione secunda Americana Col. Græc. Min. *Cebetis Tabula*, ad exemplar accuratissimum, excerptis ex orationis solutæ scriptoribus est addita. Lexicon parvum quoque auctum est verbis plus trecentis, quæ in hoc opusculo inveniuntur, et in editione priori non reperta. Notæ quædam philologicæ, ex melioribus editionibus selectæ, subjiciuntur, neutiquam profecto commentario lucido et nitido Dalzel comparandæ, sed quæ aliquid forsan fructus ingenuæ et studiosæ juventuti afferant.

Cantabrigiæ, Nov-Anglorum,
Kalend. Novem. MDCCCX.

Huic quartæ Editioni Americanæ visum est, quædam excerpta è Vetere Testamento secundum Septuaginta, et Christianis Scriptoribus adjungere. Vocabula, quæ in Parvo Lexico non reperiuntur, in Appendice ad calcem hujus operis subjecto, inveniantur. Cantabrigiæ, Nov-Ang. Idibus Feb. A. D. MDCCCXIX.

SYNOPSIS EORUM QUÆ IN HOC OPUSCULO CONTINENTUR.

PARS PRIMA.

EXCERPTA EX PROSÆ SCRIPTORIBUS.

I. EX *ÆSOPI FABULIS.*

21. *Leo*

VI. E *XENOPHONTE DE CYRI INSTITUTIONE.*

E Libro quinto.

PARS ALTERA.

EXCERPTA ex POETIS.

I. Ex *ANACREONTIS CARMINIBUS.*

II. Ex

II. Ex *BIONIS IDYLLIIS.*

III. Ex *MOSCHI IDYLLIIS.*

IV. Ex *TYRTÆI ELEGIIS.*

PARS TERTIA.

I. *EXCERPTA EX VETERE TESTAMENTO SECUNDUM SEPTUAGINTA.*

II. E *SCRIPTORIBUS CHRISTIANIS.*

COLLECTANEA GRÆCA MINORA:

PARS PRIMA;

COMPLECTENS EXCERPTA EX NONNULLIS PROSÆ SCRIPTORIBUS.

I.

EX ÆSOPI FABULIS.

Æsopi ingentem statuam posuere Attici,
Servumque collocârunt æternâ in basi,
Patere honoris scirent ut cuncti viam,
Nec generi tribui, sed virtuti gloriam.

PHÆDR. FAB. LIB. II.

[1]ΑΙΣΩΠΟΥ ΜΥΘΟΙ.

α. [2]ΚΟΧΛΙΑΙ.

[3]ΓΕΩΡΓΟΥ *παις ωπτα κοχλιας·* [4]*ακουσας δε αυτων τρυζοντων,* [5]*εφη, ω* [6]*κακιστα ζωα,* [7]*των οικιων ὑμων εμπιπραμενων,* [8]*αυτοι αδετε;*

β. ἹΠΠΟΣ ΚΑΙ ἹΠΠΟΚΟΜΟΣ.

[9]*Κριθην την του ἱππου ὁ ἱπποκομος κλεπτων και πωλων,* [10]*τον ἱππον ετριβε και εκτενιζε πασας ἡμερας· εφη δε ὁ ἱππος, ει θελεις αληθως καλον ειναι με,* [11]*την κριθην την τρεφουσαν μη πωλει.*

γ.

δε αμφοτερα· [1] το μεν ουν ϗκ ἠν· ὁ δε κατειχεν ὑπο του ῥευματος [2] κατεσυρετο.

ια. [3] ΤΑΩΣ ΚΑΙ ΚΟΛΟΙΟΣ.

[4] Των ορνιθων βουλομενων ποιησαι βασιλεα, ταως [5] ἑαυτον ηξιου δια το καλλος χειροτονειν· [6] αἱρουμενων δε τουτον παντων, κολοιος [7] ὑπολαβων εφη, αλλ' ει, [8] σου βασιλευοντος, αετος ἡμας καταδιωκειν [9] επιχειρησει, [10] πως ἡμιν επαρκεσεις;

ιβ. [11] ΚΥΝΕΣ ΛΙΜΩΤΤΟΥΣΑΙ.

Κυνες λιμωττουσαι ὡς εθεασαντο ἐν τινι ποταμῳ [12] βυρσας βρεχομενας, μη δυναμεναι [13] αυτων εφικεσθαι, [14] συνεθεντο αλληλοις ὁπως πρωτον το ὑδωρ [15] εκπιωσιν, [16] και ειθ' οὑτως επι τας βυρσας [17] παραγενωνται. [18] Συνεβη δε αυταις [19] πιουσαις [20] πριν διαραγηναι, η των βυρσων εφικεσθαι.

ιγ. ἹΠΠΟΣ ΚΑΙ ΕΛΑΦΟΣ.

Ἱππος [21] κατειχε λειμωνα μονος, [22] ελθοντος δ' ελαφου και διαφθειροντος την νομην, βουλομενος [23] τιμωρησασθαι τον ελαφον, [24] ηρωτα [25] τον ανθρωπον, ει δυναιτο μετ' αυτου κολασαι τον ελαφον· [26] ὁ δ' εφησεν, εαν λαβῃ χαλινον, και αυτος αναβῃ επ' αυτον, εχων ακοντια· [27] συνομολογησαντος δε, και αναβαντος, [28] αντι του τιμωρησασθαι, αυτος [29] εδουλευσεν ηδη τῳ ανθρωπῳ.

ιδ.

ιδ. ΤΕΤΤΙΞ ΚΑΙ ΜΥΡΜΗΚΕΣ.

Χειμωνος [1]ὡρᾳ, των σιτων [2]βραχεντων, ὁι μυρμηκες [3]εψυχον· τεττιξ δε λιμωττων [4]ητει αυτους τροφην· οἱ δε μυρμηκες ειπον αυτῳ, διατι [5]το θερος ου [6]συνηγες τροφην; [7]Ὁ δε ειπεν, [8]ουκ εσχολαζον, αλλ' [9]ηδον μουσικως· οἱ δε γελασαντες ειπον, αλλ' [10]ει θερουςὡραις ηυλεις, χειμωνος ορχου.

ιε. ΓΕΡΩΝ ΚΑΙ ΘΑΝΑΤΟΣ.

Γερων ποτε ξυλα [11]ταμων εξ ορους, κᾳπι των ωμων [12]αραμενος, επειδη πολλην ὁδον [13]επηχθισμενος [14]εβαδισεν, [15]απειρηκως, [16]απεθετο τε τα ξυλα, και τον θανατον ελθειν [17]επεκαλειτο. Του δε θανατȣ ευθυς [18]επισταντος, ϗ την αιτιαν πυνθανομενȣ δι' ἡν αυτον [19]καλοιη, ὁ γερων εφη, ἱνα τον φορτον τουτον [20]αρας, επιθῃς μοι.

ις. ΚΥΩΝ ΚΑΙ ΔΕΣΠΟΤΗΣ.

Εχων τις [21]κυνα Μελιταιον και ονον, [22]διετελει τῳ κυνι προσπαιζων· και ειποτε εξω δειπνον ειχεν, εκομιζε τι αυτῳ και [23]προσιοντι παρεβαλεν. Ὁ δε ονος [24]ζηλωσας, [25]προεδραμεν αυτος και σκιρτων [26]ελακτισε [27]τον δεσποτην· και οὑτος αγανακτησας [28]εκελευσε παιοντα αυτον αναγαγειν προς τον μυλωνα, και τουτον δησαι.

ιζ. ΑΛΕΚΤΟΡΕΣ.

Αλεκτορων δυο μαχομενων [1]περι θηλειων ορνιθων, ὁ εἱς τον ἑτερον [2]κατετροπωσατο· και [3]ὁ μεν [4]ἡττηθεις εις τοπον κατασκιον [5]απιων εκρυβη· ὁ δε νικησας, εις ὑψος [6]αρθεις, και εφ' ὑψηλου τοιχου στας, μεγαλοφωνως εβοησε. Και παρευθυς αετος [7]καταπτας, ἡρπασεν αυτον· ὁ δ' εν σκοτῳ κεκρυμμενος, αδεως εκτοτε ταις θηλειαις επεβαινεν.

ιη. ΕΧΙΣ ΚΑΙ ῬΙΝΗ.

[8]Εχις εισελθων εις χαλκουργου εργαστηριον, [9]εκ των σκευων των οντων εζητει φαγειν· ἡκεν ουν προς την ῥινην, και αυτην [10]παρεκαλει [11]δουναι αυτῳ τι· ἡ δε [12]ὑποτυχουσα ειπεν, αλλ' ευηθης ει παρ' εμου [13]τι αποισεσθαι οιομενος, [14]ἡτις ου διδοναι, αλλα λαμβανειν παρα παντων [15]ειωθα.

ιθ. ΛΥΚΟΣ ΚΑΙ ΓΕΡΑΝΟΣ.

Λυκου λαιμῳ οστεον [16]επεπηγει· ὁ δε γερανῳ μισθον [17]παρεξειν ειπεν, ει [18]την κεφαλην αὑτης επιβαλουσα, το οστουν εκ του λαιμου αὑτου [19]εκβαλοι· ἡ δε τουτ' εκβαλουσα, [20]δολιχοδειρος ουσα, τον μισθον [21]επεζητει· ὁ δε γελασας, και τους οδοντας [22]θηξας, [23]αρκει σοι μισθος, εφη, τουτο και μονον, ὁτι εκ λυκου στοματος και οδοντων [24]εξηρες καραν σωαν, [25]μηδεν παθουσαν.

κ.

κ. ΑΛΩΠΗΞ ΛΙΜΩΤΤΟΥΣΑ.

Αλωπηξ, λιμωττουσα εν πεινῃ, [1]εθεασατο βοσκου κρεα και αρτον, επι τινα καλυβην ὑπ᾽ αυτου [2]καταλειφθεντα, ϗ [3]εισελθουσα δια στενωτατης οπης, εφαγεν αυτα ἡδεως· [4]εξογκωθεισα δε, και μη δυναμενη [5]εξελθειν της καλυβης, [6]εστενε και ωλοφυρετο. Ἑτερα δε αλωπηξ διερχομενη ηκουσεν αυτης των στεναγμων, και προσελθουσα επυνθανετο την αιτιαν· και [7]μαθουσα εφη· μενε τεως ενταυθα, ἑως αν [8]τοιαυτη [9]γενῃ [10]ὁποια ουσα εισηλθες.

κα. ΛΕΩΝ ΚΑΙ ΟΝΟΣ.

Λεων και ονος, [11]κοινωνιαν θεμενοι, εξηλθον επι θηραν. [12]Γενομενων δε αυτων κατα τι σπηλαιον, εν ᾧ [13]αιγες αγριαι, ὁ μεν λεων προ του στομιου [14]στας, [15]εξιουσας τας αιγας [16]συνελαμβανεν· ὁ δε ονος ενδον εισελθων [17]ενηλατο αυταις, και [18]ωγκατο εκφοβειν βουλομενος. Του δε λεοντος τας [19]πλειστας συλλαβοντος, εξελθων εκεινος επυνθανετο αυτου, ει γενναιως [20]ηγωνισατο, και τας αιγας [21]εξεδιωξεν. Ὁ δε ειπεν· αλλ᾽ [22]ευ ισθι ὁτι καγω [23]αν σε εφοβηθην, [24]ει μη ηδειν σε ονον οντα.

κβ. ΕΛΑΦΟΣ.

Ελαφος διψησας επι πηγην ηλθεν· ιδων δε την ἑαυτου σκιαν, τους μεν ποδας [25]εμεμφετο ὡς λεπτους δε

δε ασθηνεις οντας· τα δε κερατα αυτου [1]επηνει, ὡς μεγιστα και ευμηκη. [2]Μηδεπω πιων, κυνηγου καταλαβοντος, εφευγεν. [3]Επι πολυν δε τοπον δραμων δε εις ὑλην [4]εμβας, τοις κερασιν [5]εμπλακεις [6]εθηρευθη, εφη δε, ω ματαιος εγω! ὁς εκ μεν των ποδων [7]εσωθην, οἱς εμεμφομην, εκ δε των κερατων [8]προεδοθην, [9]οἱς εκαυχωμην.

κγ. ΑΛΕΚΤΡΥΟΝΕΣ ΚΑΙ ΠΕΡΔΙΞ.

Αλεκτρυονας τις εχων επι της οικιας, πριαμενος δε περδικα, συν εκεινοις [10]αφηκε νεμεσθαι. Των δε τυπτοντων αυτον, και απελαυνοντων, εκεινος [11]ηθυμει σφοδρα, νομιζων, ὡς αλλοφυλος ταυτα πασχειν ὑπο την αλεκτρυονων· ὡς δε [12]μετα μικρον κακεινυς [13]ἑωρακε μαχομενυς, ϗ αλληλυς κοπτοντας, [14]της λυπης απολυθεις, ειπεν· αλλ' εγωγε [15]απο τυ νυν ου λυπησομαι, ὁρων και αυτυς [16]μαχομενους αλληλοις.

κδ. ΑΛΩΠΗΞ ΚΑΙ ΚΟΡΑΞ.

Κοραξ, κρεας ἁρπασας, επι τινος δενδρου [17]εκαθισεν. Αλωπηξ δε τουτον ιδουσα και βυληθεισα [18]περιγενεσθαι του κρεατος, [19]στασα κατωθεν, επηνει αυτον ὡς ευμεγεθες και καλον ορνεον, λεγουσα και θηρευτικον και ευμορφον· [20]και ὁτι ἡρμοζε σοι βασιλεα ειναι ορνεων, [21]ει και φωνητικος ὑπηρχες· αλλ'

ω

ω ποιον ορνεον, και αλαλον ὑπαρχεις. Ὁ δε κοραξ, ακουσας ταυτα, και [1]χαυνωθεις τοις επαινοις, ῥιψας το κρεας, [2]μεγαλως εκεκραγει. Ἡ δ' αλωπηξ, δραμουσα και λαβουσα το κρεας, εφη προς αυτον· εχεις κοραξ ἁπαντα, [3]νους δε γε λειπει.

κε. ΜΥΕΣ.

Μυς αρουραιος αστικῳ γινεται φιλος μυι, και [4]την φιλιαν πιστουμενος, πρωτος εις αγρον τον αστικον παρελαμβανεν, και ξενιαν αυτῳ [5]παρετιθει και τραπεζαν, ἁ φερειν [6]οιδε τοις ενοικουσιν αγρον. Αμειβομενος δε την ξενιαν ὁ αστικος, εις αστυ τον αρουραιον εκομιζεν, και εις ανδρος ευπορου παρελαμβανεν οικον. Ὡς δε [7]των οντων ηδη προσαπτεσθαι ηθελον, προσιων τις [8]ανεκοπτε· και τοσαυτακις της εν τοις οψοις [9]απηλαυνοντο πειρας, ὁσακις [10]επειρωντο μεταλαμβανειν. Και [11]τελευταιον ὁ αρουραιος, απειμι, εφη, την εν αγροις [12]προτιμων μετριοτητα της εν αστει τρυφης.

κς. ΑΛΩΠΕΚΕΣ.

Αλωπηξ εν παγιδι [13]ληφθεισα, και [14]αποκοπεισης της ουρας [15]διαδρασα, [16]αβιωτον, ὑπ' αισχυνης, ἡγειτο τον βιον. [17]Εγνω ουν και τας αλλας αλωπεκας τουτ' αυτο νουθετησαι, ὡς αν τῳ κοινῳ παθει το ιδιον [18]συγκαλυψειεν αἰσχος. Και δη πασας αθροισασα,

[19]πα-

παρῄνει τας ουρας αποκοπτειν, [1] ὡς ουκ απρεπες μονον τουτο το μελος ον, αλλα και περιττον βαρος [2] προσηρτημενον. [3] Ὑπολαβουσα δε τις αυτων ειπεν, [4] ω αὑτη, [5] αλλ' ει ου σοι τουτο προσεφερεν, ουκ αν ἡμιν αυτο συνεβουλευες.

κζ. ΛΕΩΝ ΚΑΙ ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Λεων και ονος και αλωπηξ, [6] κοινωνιαν ποιησαμενοι, εξηλθον προς αγραν. Πολλης ουν θηρας [7] συλληφθεισης, προσεταξεν ὁ λεων τῳ ονῳ [8] διελειν αυτοις. Ὁ δε τρεις μεριδας ποιησαμενος [9] εκ των ισων, [10] εκλεξασθαι τουτους προυτρεπετο. Και ὁ λεων [11] θυμωθεις, τον ονον κατεφαγεν. Ειτα τῃ αλωπεκι μεριζειν εκελευσεν· ἡ δ' εις μιαν μεριδα παντα [12] σωρευσασα, ἑαυτῃ βραχυ τι κατελιπε. Και ὁ λεων προς αυτην, τις σε, ω βελτιστη, διαιρειν οὑτως εδιδαξεν; Ἡ δ' ειπεν, του ονου συμφορα.

κη. ΒΑΤΡΑΧΟΙ.

Βατραχοι, λυπουμενοι περι της ἑαυτων αναρχιας, πρεσβεις επεμψαν προς τον [13] Δια, βασιλεα αυτοις [14] παρασχειν. Ὁ δε, [15] συνιδων αυτων την ευηθειαν, ξυλον εις την λιμνην [16] καθηκεν· και οἱ βατραχοι, [17] το μεν πρωτον [18] καταπλαγεντες τον ψοφον, εις τα βαθη της λιμνης [19] εδυσαν. [20] Ὑστερον δε, ὡς ακινητον ην το ξυλον, [21] αναδυντες, εις τοσουτον [22] καταφρονησεως

φρονησεως ηλθον, ὡς και επιβαινοντες αυτῳ [1]επικαθεζεσθαι. [2]Αναξιοπαθουντες δε τοιὁυτον εχειν βασιλεα, ἡκον [3]εκ δευτερου προς τον Δια, και τουτον [4]παρεκαλουν [5]αλλαξαι αυτοις τον αρχηγον· τον γαρ πρωτον λιαν ειναι νωχελη και αδοκιμον. Ὁ δε Ζεύς, αγανακτησας κατ' αυτων, ὑδρον αυτοις επεμψεν, ὑφ' οὑ συλλαμβανομενοι κατησθιοντο.

κθ. ΒΟΥΚΟΛΟΣ.

Βουκολος αγελην ταυρων βοσκων, [6]απωλεσε μοσχον. [7]Περιελθων δε [8]πασαν την ερημον, [9]διετριβεν ερευνων· ὡς δε ουδεν εὑρειν [10]ηδυνηθη, [11]ηυξατο τῳ Διϊ, αν τον λαβοντα μοσχον κλεπτην [12]ὑποδειξη, εριφον εις θυσιαν [13]προσαξειν. Και δε ερχομενος εις τινα δρυμωνα, εὑρισκει λεοντα κατεσθιοντα τον μοσχον. Εμφοβος ουν γενομενος, και [14]μεγα δειλιασας, [15]επαρας τας χειρας ἀυτου εις τον ουρανον, ειπεν· ω δεσποτα Ζευ, [16]επηγγειλαμην σοι εριφον δωσειν, εαν τον κλεπτην εὑρω· νυν ταυρον σοι θυσειν ὑπισχνουμαι, εαν τουτου τας χειρας εκφυγω.

λ. ΚΥΩΝ ΚΑΙ ΑΛΕΚΤΡΥΩΝ.

Κυων και αλεκτρυων, ἑταιρειαν ποιησαμενοι, [17]ὡδευον. [18]Ἑσπερας δε καταλαβουσης, ὁ μεν αλεκτρυων επι δενδρου εκαθευδεν αναβας· ὁ δε κυων προς τη ῥιζη του δενδρου κοιλωμα εχοντος. Του δε αλεκτρυονος, [19]κατα το ειωθος, νυκτωρ φωνησαντος, αλωπηξ

ακου-

ακουσασα, προς αυτον [1]εδραμε· και στασα κατωθεν, προς ἑαυτην κατελθειν [2]ηξιυ, [3]επιθυμειν γαρ αγαθην οὑτω φωνην ζωον εχον ασπασασθαι. [4]Του δε ειποντος, τον θυρωρον προτερον διϋπνισαι ὑπο την ῥιζαν καθευδοντα, [5]ὡς εκεινου ανοιξαντος κατελθειν· κα̉κεινης ζητουσης αυτον φωνησαι, ὁ κυων, αιφνης πηδησας, αυτην [6]διεσπαραξεν.

λα. ἙΡΜΗΣ ΚΑΙ ΑΓΑΛΜΑΤΟΠΟΙΟΣ.

Ἑρμης, [7]γνωναι βουλομενος εν τινι τιμῃ παρ' ανθρωποις εστιν, ἡκεν [8]εις αγαλματοποιου, ἑαυτον [9]εικασας ανθρωπῳ. Και θεασαμενος αγαλμα του Διος, [10]ηρωτα, [11]ποσου τις αυτο πριασθαι δυναται; [12]Του δε ειποντος, δραχμης· γελασας, [13]ποσου το της Ἡρας; εφη. [14]Ειποντος δε, πλειονος· ιδων και το ἑαυτου αγαλμα, και νομισας, ὡς, επειδη αγγελος εστι θεων, και κερδῳος, πολυν ἁυτου παρα τοις ανθρωποις ειναι τον λογον, [15]ηρετο περι αυτου. Ὁ δ' αγαλματοποιος εφη, [16]εαν τουτους ωνησῃ, και τουτον προσθηκην σοι διδωμι.

II.

EX HIEROCLIS FACETIIS.

[1]ἹΕΡΟΚΛΟΥΣ ΑΣΤΕΙΑ.

α. ΣΧΟΛΑΣΤΙΚΟΣ κολυμβᾳν βουλομενος, [2]παρα μικρον επνιγη. [3]Ωμοσεν ουν μη ἁψασθαι ὑδατος, [4]εαν μη πρωτον μαθῃ κολυμβᾳν.

β. Σχολαστικος φιλῳ [5]συναντησας ειπε, καθ' ὑπνους [6]σε ιδων προσηγορευσα. [7]Ὁ δε, συγγνωθι μοι, ὁτι ου προσεσχον.

γ. Σχολαστικος [8]νοσουντα επισκεπτομενος, ηρωτα περι της ὑγιειας· ὁ δε ουκ [9]ηδυνατο [10]αποκριθηναι. [11]Ὀργισθεις ουν εξηλεγξεν, [12]ελπιζω κᾳμε νοσησαι, και ελθοντι σοι μη αποκριθηναι.

δ. Σχολαστικος ιατρῳ συναντησας, συγχωρησον μοι, ειπε, [13]και μη μοι μεμψῃ, ὁτι ουκ ενοσησα.

ε.

ε. Σχολαστικος θελων τον ἱππον αὑτου διδαξαι μη τρωγειν πολλα, ου παρεβαλεν αυτῳ τροφας. [1] Αποθανοντος δε του ἱππου τῳ λιμῳ, ελεγε· [2] μεγα εζημιωθην· [3] ὁτε γαρ εμαθε μη τρωγειν, τοτε απεθανε.

ϛ. Σχολαστικος οικιαν πωλων, λιθον απ' αυτης εις δειγμα [4] περιεφερε.

ζ. Σχολαστικος θελων [5] ειδεναι, ει πρεπει αυτῳ κοιμασθαι, [6] καμμυσας εσοπτριζετο.

η. Σχολαστικος ιατρῳ συναντησας ὑπο τοιχου [7] εκρυβη. [8] Τινος δε πυθομενου την αιτιαν, εφη, [9] χαιρον εχω μη ασθενησας, και αισχυνομαι εις οψιν ελθειν του ιατρου.

θ. Σχολαστικος [10] αμιναιαν εχων, [11] εσφραγισεν αυτην. Του δε δουλου κατωθεν [12] τρησαντος, και τον οινον αιροντος, εθαυμαζεν ὁτι, των σημαντρων σωων οντων, ὁ οινος [13] ελαττουτο. Ἑτερος ειπεν, ὁρα, [14] μη κατωθεν αφηρεθη. Ὁ δε, αμαθεστατε, ειπεν, [15] ου το κατωθεν λειπει, αλλα το ανωθεν μερος.

ι. Σχολαστικος ιδων στρουθια επι δενδρου, λαθρα [16] ὑπεισελθων [17] ὑφαπλωσατο [18] τον κολπον, και εσειε το δενδρον, [19] ὡς ὑποδεξομενος τα στρουθια.

ια. Σχολαστικος σχολαστικῳ συναντησας ειπεν, [20] εμαθον ὁτι απεθανες. Κακεινος, αλλ' ὁρᾳς με

ετι,

ετι, εφη, ζωντα· [1] και ὁ σχολαστικος, και μην ὁ ειπων μοι πολλῳ σου αξιοπιστοτερος ὑπαρχει.

ιβ. Σχολαστικος, εν τῳ ιδιῳ αγρῳ εξιων, ηρωτα [2] πιειν ὑδωρ ει καλον, εν τῳ αυτοθι φρεατι· [3] των δε φησαντων ὁτι καλον, και γαρ οἱ γονεις αυτου εξ αυτου επινον· και πηλικους, εφη, ειχον τραχηλους, ὁτι εις τοσουτον βαθος πινειν [4] ηδυναντο!

ιγ. Σχολαστικος, [5] μαθων ὁτι ὁ κοραξ ὑπερ τα διακοσια ετη [6] ζῃ, [7] αγορασας κορακα εις αποπειραν ετρεφε.

ιδ. Σχολαστικος [8] εις χειμωνα ναυαγων, [9] και των συμπλεοντων ἑκαστου περιπλεκομενων σκευους προς το σωθηναι, εκεινος μιαν των αγκυρων περιεπλεξατο.

ιε. Διδυμων αδελφων ἑις [10] ετελευτησε. Σχολαστικος ουν απαντησας τῳ ζωντι ηρωτα, [11] συ απεθανες, η ὁ αδελφος σου;

ις. Σχολαστικος, [12] ναυαγειν μελλων, πινακιδας ῃτει, ἱνα διαθηκας γραφῃ· τους δε οικετας ὁρων αλγουντας δια του κινδυνου, εφη, μη λυπεισθε, [13] ελευθερω γαρ ὑμας.

ιζ. Σχολαστικος, ποταμον βουλομενος περασαι, [14] ανηλθεν ες το πλοιον εφιππος· πυθομενου δε τινος την αιτιαν, [15] εφη, σπουδαζειν.

ιη.

ιη. Σχολαστικος, απορων δαπανηματων, τα βιβλια αὑτου επιπρασκε· και, γραφων προς τον πατερα, ελεγε, [1] συγχαιρε ἡμιν, πατερ, ηδη γαρ ἡμας [2] τα βιβλια τρεφει.

ιθ. Σχολαστικου παιδιον απεθανεν· [3] ιδων δε πληθος λαου συνελθειν, ελεγεν, αισχυνομαι εις τοσουτον οχλον μικρον παιδιον προφερειν.

κ. Σχολαστικου υἱος, [4] ὑπο του πατρος εις πολεμον εκπεμπομενος, [5] ὑπεσχετο ἑνος των εχθρων κεφαλην [6] αγαγειν. [7] Ὁ δε εφη· [8] ευχομαι και χωρις κεφαλης σε ελθοντα, μονον ὑγιη οντα ιδειν, και ευφρανθηναι.

κα. Σχολαστικῳ φιλος εγραψεν εν Ἑλλαδι οντι, βιβλια αυτῳ αγορασαι· [9] του δε αμελησαντος, ὡς, μετα χρονον, [10] τῳ φιλῳ συνωφθη, ειπε, την επιστολην, ἡν περι βιβλιων [11] απεστειλας μοι, [12] ουκ εκομισαμην.

III.

III.

EX PALÆPHATO.

DE INCREDIBILIBUS HISTORIIS.

---

[1] ΠΑΛΑΙΦΑΤΟΥ

ΠΕΡΙ

ΑΠΙΣΤΩΝ ἹΣΤΟΡΙΩΝ.

1. ΠΕΡΙ ΚΕΝΤΑΥΡΩΝ.

[2] ΦΑΣΙΝ ὡς θηρια εγενοντο, και ἱππων μεν [3] ειχον ὁλην την ιδεαν, πλην της κεφαλης· [4] ταυτην δε ανδρος. Ει τις ουν πειθεται, τοιουτον γενεσθαι θηριον, [5] αδυνατον πεπιστευκεν· ουτε γαρ ἡ φυσις [6] συμφωνος ἱππου και ανδρος, ουτε ἡ τροφη ὁμοια, ουτε δια στοματος και φαρυγγος ανθρωπειου δυνατον ἱππου τροφην [7] διελθειν· ει δε τοιαυτη ιδεα τοτε ην, [8] και νυν αν ὑπηρχε. [9] Το δ' αληθες [10] εχει ὡδε. Ιξιονος βασιλεως οντος Θεσσαλιας, εν τω Πηλιω ορει

[1] απη-

καδιος, φιλοκυνηγος. Οὗτος ετρεφε κυνας πολλας και εθηρευεν εν τοις ορεσι. Των δε αυτου πραγματων [1] ημελει· οἱ γαρ τοτε ανθρωποι αυτουργοι παντες ησαν· οικετας δε ειχον ουδ' ὁλως, αλλ' αυτοι [2] εγεωργουν. Και οὗτος ην πλουσιωτατος, ὁς εγεωργει, και εργαστικωτατος ὑπηρχε. Τῳ δε Ακταιωνι αμελουντι [3] των οικειων, μαλλον δε κυνηγετουντι, [4] διεφθαρη ὁ βιος. Ὁτε δε [5] ουκετι ειχεν ουδεν, ελεγον οἱ ανθρωποι, δειλαιος Ακταιων ὑπο των ιδιων κυνων κατεβρωθη.

3. ΠΕΡΙ ΤΩΝ ΑΝΘΡΩΠΟΦΑΓΩΝ ἹΠΠΩΝ ΔΙΟΜΗΔΟΥΣ.

Περι των Διομηδους ἱππων φασιν, ὁτι ανθρωπους κατησθιον. Τουτο δε [6] γελοιον· το γαρ ζωον τουτο κριθῃ και χορτῳ ἡδεται [7] μαλλον η κρεασιν ανθρωπινοις. [8] Ἡ δε αληθεια ἡδε. Των παλαιων ανθρωπων οντων αυτουργων, και τροφην και περιουσιαν πλειστην [9] κεκτημενων, ἁτε την γην εργαζομενων· [10] ἱπποτροφειν οὗτος επελαβετο, και [11] μεχρι τουτου ἱπποις ἡδετο, ἑως οὗ [12] τα αὑτου απωλεσε, [13] και παντα πωλων κατηναλωσεν εις την των ἱππων τροφην. Οἱ ουν φιλοι τους ἱππους ανδροφαγους ωνομασαν· [14] οὗ γενομενου, προηχθη ὁ μυθος.

4. ΠΕΡΙ ΝΙΟΒΗΣ,

Φασιν, ὡς Νιοβη [15] ζωσα λιθος εγενετο επι τῳ

τυμβῳ

τυμβῳ των παιδων. Ὁστις δε πειθεται, εκ λιθου γενεσθαι ανθρωπον, η εξ ανθρωπου λιθον, ευηθης εστι. Το δε αληθες εχει ὡδε. Νιοβη, αποθανοντων των ἑαυτης παιδων, ποιησασα ἑαυτῃ εικονα λιθινην, εστησεν επι τῳ τυμβῳ των παιδων. Και ἡμεις [1] εθεασαμεθα αυτην, [2] οἱα και λεγεται.

5. ΠΕΡΙ ΛΥΓΚΕΩΣ.

Λυγκεα λεγουσιν, ὡς τα [3] ὑπο γην ἑωρα. Τουτο δε [4] ψευδος. Το δε αληθες εχει ὡδε. Λυγκευς [5] πρωτος ηρξατο μεταλλευειν χαλκον, και αργυρον, και τα λοιπα. Εν δε τῃ μεταλλευσει, λυχνους καταφερων ὑπο την γην, τους μεν [6] κατελιπεν επι του τοπου. Αυτος δε ανεφερε τον χαλκον και τον σιδηρον. Ελεγον ουν οἱ ανθρωποι, ὁτι Λυγκευς και τα ὑπο γην ὁρᾳ, και καταδυνων αργυριον αναφερει.

6. ΠΗΡΙ ΚΑΙΝΕΩΣ.

Καινεα φασιν, ὁτι ατρωτος ην. Ὁς δ' ὑπολαμβανει ατρωτον απο σιδηρου ανθρωπον, ευηθης εστιν. Ἡ δε αληθεια εχει οὑτως. Καινευς ην ανηρ Θετταλος τῳ γενει, [7] αγαθος τα πολεμικα και επιστημων του μαχεσθαι. Γενομενος δε εν πολλαις μαχαις, ουδεποτε [8] ετρωθη, ουτε Λαπιθαις συμμαχων προς των Κενταυρων [9] απεθανεν, [10] αλλα συλλαβοντες αυτον μονον κατεχωσαν, και οὑτως [11] ετελευτησεν. Ελεγον ουν οἱ Λαπιθαι [12] ανελομενοι τον νεκρον αυτου,

και

τινα. Πολις εστιν εν τῳ Ευξεινῳ ποντῳ, Τρικαρηνια καλουμενη. Ην δε Γηρυονης εν ταις τοτε ανθρωποις ονομαστος, πλουτῳ τε και αλλοις διαφερων. Ειχε δε και βοων αγελην θαυμαστην, εφ' ἣν ελθων Ἡρακλης, [1] αντιποιουμενον Γηρυονην εκτεινεν. Οἱ δε [2] θεωμενοι περιελαυνομενας τας βους εθαυμαζον· ἠσαν γαρ [3] το μεν μεγεθος μικραι, απο δε κεφαλης επι την οσφυν μακραι, και σιμαι, κερατα ουκ εχουσαι, ουτω δη μακρα και πλατεα. [4] Προς τους πυνθανομενους ουν ελεγον τινες, Ἡρακλης ταυτας [5] περιηλασεν, ουσας Γηρυονου, του Τρικαρηνου· τινες δε, εκ του λεγομενου, [6] ὑπελαβον αυτον τρεις εχειν κεφαλας.

11. ΠΕΡΙ ΟΡΦΕΩΣ.

Ψευδης δε ὁ περι του Ορφεως μυθος, ὁτι κιθαριζοντι αυτῳ [7] εφειπετο τα τετραποδα, και τα ορνεα, και τα δενδρα. Δοκει δε μοι ταυτα ειναι. Βακχαι [8] μανεισαι προβατα [9] διεσπασαν εν τη Πιεριᾳ· πολλα δε και αλλα βιαιως ειργαζοντο. Τρεπομεναι τε [10] εις το ορος, διετριβον εκει τινας ἡμερας. Ὡς δε εμειναν οἱ πολιται, [11] δεδιοτες περι των γυναικων και θυγατερων, [12] μεταπεμψαμενοι τον Ορφεα [13] εδεοντο μηχανασθαι, [14] ὃν τροπον καταγαγοι αυτας εκ του ορους. Ὁ δε συνταξαμενος τῳ Διονυσῳ οργια, καταγει αυτας βακχευουσας κιθαριζων· αἱ δε [15] ναρθηκας

θηρας τοτε πρωτον εχουσαι κατεβαινον εκ του ορους, και κλωνας δενδρων παντοδαπων. Τοις δε ανθρωποις θαυμαστα τοτε θεασαμενοις, [1] ενεφαινετο πρωτον τα ξυλα καταγομενα· και [2] εφασαν ὁτι Ορφευς κιθαριζων αγει την ὑλην εκ του ορους· και εκ τουτου ὁ μυθος [3] ανεπλασθη.

12. ΠΕΡΙ ΑΛΚΗΣΤΙΔΟΣ.

Λεγεται [4] μυθος τραγικωδης, [5] ὡς δη μελλοντος πα-[illegible] του Αδμητου [6] θανειν, αὑτη [7] ἑιλετο ὑπερ αυτου θανατον· ᾗ Ἡρακλης αυτην δια την ευσεβειαν [8] αφελομενος, και αναγαγων εκ του ᾁδου, [9] απηδωκεν Αδμητῳ. Αλλ' εγενετο τι τοιουτον. Επειδη Πελιαν απεκτειναν αἱ θυγατερες, και [10] Ακαστος ὁ Πελιου εδιωκεν αυτας, και τας μεν αλλας λαμβανει· Αλκηστις δε καταφευγει εις Φερας πρὸς Αδμητον, τον ανεψιον ἁυτης· [11] και καθεζομενην επι της ἑστιας, ουκ εβουλετο Αδμητος Ακαστῳ εκδοτον εξαιτουμενῳ δουναι· ὁ δε πολλην στρατιαν [12] παρακαθισας επι την πολιν, [13] ενὺρπολει αυτους. [14] Επεξιων δε ὁ Αδμητος, εχων και λοχαγους, νυκτωρ [15] συνεληφθη ζων· [16] ηπειλει δε Ακαστος αποκτεινειν αυτον· [17] πυθομενη δε ἡ Αλκηστις, ὁτι μελλει αναιρεισθαι Αδμητος δι' αυτην, εξελθουσα ἑαυτην παρεδωκε. Τον μεν ουν Αδμητον αφιησιν ὁ Ακαστος, εκεινην δε συλλαμβανει. Ελεγον ουν οἱ ανθρωποι· Ανδρεια γε

Αλκηστις

Αλκηστις ἑκουσα [1] ὑπεραπεθανεν Αδμητου. Τοιουτο μεντοι ουκ εγενετο, ὡς ὁ μυθος φησι· κατα γουν τον καιρον τουτον Ἡρακλης ἡκεν αγων εκ τινων τοπων τας Διομηδους ἱππους. Τουτον εκεισε πορευομενον [2] εξενισεν Αδμητος. Οδυρομενου δε Αδμητου την συμφοραν της Αλκηστιδος, αγανακτησαμενος Ἡρακλης, [3] επιτιθεται τῳ Ακαστῳ, και την στρατιαν αυτου διαφθειρει, και τα μεν [4] λαφυρα τῃ ἁυτου στρατιᾳ διανεμει, την δε Αλκηστιν τῳ Αδμητῳ παραδιδωσιν. Ελεγον ουν οἱ ανθρωποι, ὡς [5] εντυχων Ἡρακλης, εκ του θανατου [6] ερρυσατο την Αλκηστιν. Τουτων γενομενων, ὁ μυθος [7] προσανεπλασθη.

IV.

EX LUCIANI DIALOGIS.

[1] ΛΟΥΚΙΑΝΟΥ

ΔΙΑΛΟΓΟΙ ΝΕΚΡΩΝ.

ΔΙΑΛΟΓΟΣ α.

ΚΝΗΜΩΝ, ΔΑΜΙΠΠΟΣ.

ΚΝ. [2] Τουτο εκεινο το της παροιμιας, [3] Ὁ νεβρος τον λεοντα. ΔΑ. [4] Τι αγανακτεις, ω Κνημων; ΚΝ. Πυνθανη [5] ὅ, τι, αγανακτω; Κληρονομον ακουσιος [6] καταλελοιπα, [7] κατασοφισθεις ὁ αθλιος, [8] οὓς εβουλομην αν μαλιστα [9] σχειν τα᾽μα, παραλιπων. ΔΑ. Πως τουτ᾽ εγενετο; ΚΝ. Ἑρμολαον τον πανυ πλουσιον, ατεκνον οντα, εθεραπευον [10] επι θανατῳ· κα᾽κεινος ουκ αηδως την θεραπειαν [11] προσιετο. Εδοξε δη

δη μοι και σοφον τουτ' ειναι, [1] θεσθαι διαθηκας ες το φανερον, εν 'αἱς εκεινῳ [2] καταλελοιπα τα'μα παντα, ὡς κα'κεινος [3] ζηλωσειε, και [4] τα αυτα πραξειε. ΔΑ. Τι ουν δη[5] εκεινος; ΚΝ. 'Ο, τι μεν ουν αυτος [6] ενεγραψε ταις ἑαυτου διαθηκαις, ουκ [7] οιδα· εγω γουν αφνω [8] απεθανον, του τεγους [9] μοι επιπεσοντος· και νυν 'Ερμολαος εχει τα'μα, ὡσπερ τις λαβραξ, και το αγκιστρον [10] τῳ δελεατι συγκατασπασας. ΔΑ. [11] Ου μονον, αλλα και [12] αυτον σε τον αλιεα· ὡστε σοφισμα κατα σαυτου [13] συντεθεικας. ΚΝ. [14] Εοικα· οιμωζω τοιγαρουν.

ΔΙΑΛΟΓΟΣ β.

ΜΕΝΙΠΠΟΣ ΚΑΙ 'ΕΡΜΗΣ.

ΜΕ. [15] Που δε οἱ καλοι εισιν, η ἁι καλαι, ω 'Ερμη; [16] ξεναγησον με νεηλυν οντα. 'ΕΡ. [17] Ου σχολη μοι, ω [18] Μενιππε· [19] πλην, κατ' εκεινο αυτο, αποβλεψον [20] ὡς επι τα δεξια, ενθα [21] 'Υακινθος τε εστι, και [22] ὁ Ναρκισσος, και [23] Νιρευς, και [24] Αχιλλευς, και [25] Τυρω, και [26] 'Ελενη, και [27] Ληδα, και ὁλως τα αρχαια [28] καλλη παντα. ΜΕ. Οστα μονον ὁρω, και κρανια των σαρκων γυμνα, ὁμοια τα πολλα. 'ΕΡ. Και μην [29] εκεινα εστιν, ἁ παντες οἱ ποιηται θαυμαζουσι, τα οστα, ὡν συ [30] εοικας καταφρονειν. ΜΕ. 'Ομως την 'Ελενην μοι [31] δειξον· ου γαρ αν

διαγνοιην

[1] διαγνοιην εγωγε. ΕΡ. [2] Τουτι το κρανιον ἡ Ἑλενη εστιν. ΜΕ. Ειτα αἱ χιλιαι [3] νηες δια τουτο [4] επληρωθησαν εξ ἁπασης της Ἑλλαδος, και τοσουτοι [5] επεσον Ἑλληνες τε και βαρβαροι, και τοσαυται πολεις αναστατοι [6] γεγονασιν; ἙΡ. Αλλ' ουκ ειδες, ω Μενιππε, [7] ζωσαν την γυναικα· [8] εφης γαρ αν και συ ανεμεσητον ειναι,—

[9] Τοιῃδ' αμφι γυναικι πολυν χρονον αλγεα πασχειν·

επει και τα ανθη, ξηρα οντα, ει τις βλεποι [10] αποβεβληκοτα την βαφην, αμορφα δηλονοτι αυτῳ [11] δοξει. Ὁτε μεντοι ανθει, και εχει την χροιαν, καλλιστα εστιν. ΜΕ. Ουκουν τουτο, ω Ἑρμη, θαυμαζω, [12] ει μη συνιεσαν οἱ Αχαιοι περι πραγματος οὑτως ολιγοχρονιου, και ῥᾳδιως απανθουντος πονουντες. ἙΡ. Ου σχολη μοι, ω Μενιππε, [13] συμφιλοσοφειν σοι· ὡστε [14] επιλεξαμενος τοπον, ενθα αν εθελῃς, κεισο καταβαλων σεαυτον· εγω δε τους αλλους νεκρους ηδη [15] μετελευσομαι.

ΔΙΑΛΟΓΟΣ γ.

ΧΑΡΩΝ, ΜΕΝΙΠΠΟΣ, ἙΡΜΗΣ.

ΧΑ. [16] Αποδος, ω καταρατε, τα πορθμια. ΜΕ. Βοα, ει τουτο σοι [17] ἡδιον, ω Χαρων. ΧΑ. Αποδος, φημι, [18] ανθ' ὡν σε διεπορθμευσαμην. ΜΕ. Ουκ αν

λαβοις

[1] λαβοις παρα του μη εχοντος. ΧΑ. Εστι δε τις οβολον μη εχων; ΜΕ. Ει μεν και αλλος [2] τις, ουκ οιδα· εγω δε ουκ [3] εχω. ΧΑ. Και μην αγξω σε, [4] νη τον Πλουτωνα, ω μιαρε, ην μη [5] αποδῳς. ΜΕ. [6] Καγω τῳ ξυλῳ σου παταξας διαλυσω το κρανιον. ΧΑ. Ματην ουν εσῃ [7] πεπλευκως τοσουτον πλουν; ΜΕ. Ὁ Ἑρμης ὑπερ εμου σοι [8] αποδοτω, ὁς με παρεδωκε σοι. ἙΡ. [9] Νη Δια οναιμην, [10] ει μελλω γε και ὑπερεκτινειν των νεκρων. ΧΑ. [11] Ουκ αποστησομαι σου. ΜΕ. Τουτου γε ἑνεκα νεωλκησας το πορθμειον, παραμενε· πλην αλλ' [12] ὁ γε μη εχω, πως αν λαβοις; ΧΑ. Συ δ' ουκ [13] ηδεις ὡς κομιζειν [14] δεον; ΜΕ. Ηδειν μεν, ουκ ειχον δε· τι ουν; [15] εχρην δια τουτο μη [16] αποθανειν; ΧΑ. Μονος ουν αυχησεις προικα [17] πεπλευκεναι; ΜΕ. Ου προικα, ω βελτιστε· και γαρ [18] ηντλησα, και [19] της κωπης επελαβομην, και ουκ εκλαιον μονος των αλλων επιβατων. ΧΑ. Ουδεν [20] ταυτα προς τα πορθμια· τον οβολον αποδουναι σε δει· ου γαρ [21] θεμις αλλως γενεσθαι. ΜΕ. Ουκουν απαγαγε με αυθις ες τον βιον. ΧΑ. Χαριεν λεγεις, ἱνα και πληγας επι τουτῳ παρα του Αιακου [22] προσλαβω. ΜΕ. Μη ενοχλει ουν. ΧΑ. [23] Δειξον τι εν τῃ πηρᾳ εχεις. ΜΕ. [24] Θερμους, ει θελεις, και της [25] Ἑκατης το δειπνον. ΧΑ. Ποθεν τουτον ἡμιν, ω Ἑρμη, τον κυνα [26] ηγαγες; οἱα δε και ελαλει παρα τον πλουν, [27] των επιβατων των ἁπαντων

κατα-

καταγελων, και επισκωπτων, και μονος ᾳδων, οιμωζοντων εκεινων. ἙΡ. Αγνοεις, ω Χαρων, ὁποιον ανδρα [1] διεπορθμευσας; ελευθερον ακριβως, [2] κ'ουδενος αυτῳ μελει· ὁυτος εστιν ὁ Μενιππος. ΧΑ. Και μην [3] αν σε λαβω ποτε. ΜΕ. Αν λαβῃς, ω βελτιστε· δις δε ουκ αν λαβοις.

ΔΙΑΛΟΓΟΣ δ.

ΚΡΟΙΣΟΣ, ΠΛΟΥΤΩΝ, ΜΕΝΙΠΠΟΣ, ΜΙΔΑΣ, ΣΑΡΔΑΝΑΠΑΛΟΣ.

ΚΡ. [4]Ου φερομεν, ω Πλουτων, Μενιππον [5]τουτονι τον κυνα [6]παροικουντα· ὡστε η εκεινον ποι καταστησον, η ἡμεις μετοικησομεν εις ἑτερον τοπον. ΠΛΟΥ. Τι δ' ὑμας δεινον εργαζεται, ὁμονεκρος ων; ΚΡΟΙ. Επειδαν ἡμεις οιμωζομεν, και στενομεν, εκεινων μεμνημενοι [7]των ανω, [8]Μιδας μεν [9]οὑτοσι του χρυσιου, [10]Σαρδαναπαλος δε της πολλης τρυφης, [11]εγω δε των θησαυρων, επιγελᾳ, και εξονειδιζει, ανδραποδα και καθαρματα ἡμας αποκαλων· ενιοτε δε και ᾳδων, επιταραττει ἡμων τας οιμωγας· και ὁλως, λυπηρος εστι. ΠΛΟΥ. [12]Τι ταυτα φασιν, ω Μενιππε; ΜΕΝ. Αληθη, ω Πλουτων· μισω γαρ αυτους αγεννεις, και ολεθριους οντας, οἱς [13]ουκ απεχρησε [14]βιωναι κακως, αλλα και αποθανοντες ετι [15]μεμνηνται,

και

και [1]περιεχονται των ανω· [2]χαιρω τοιγαρουν ανιων αυτους. ΠΛΟΥ. Αλλ' ου χρη· [3]λυπουνται γαρ ου μικρων στερουμενοι. ΜΕΝ. Και συ μωραινεις, ω Πλουτων, ὁμοψηφος ων τοις τουτων στεναγμοις; ΠΛΟΥ. Ουδαμως· αλλ' ουκ αν εθελησαιμι στασιαζειν ὑμας. ΜΕΝ. Και μην, ω κακιστοι Λυδων, και Φρυγων, και Ασσυριων, ὁυτω γινωσκετε, [4]ὡς ουδε παυσομενου μου· ενθα γαρ αν [5]ιητε, ακολουθησω, ανιων, και καταδων, και καταγελων. ΚΡ. [6]Ταυτα ουχ ὑβρις; ΜΕΝ. Ουκ· αλλ' εκεινα ὑβρις ην, ἁ ὑμεις εποιειτε, προσκυνεισθαι αξιουντες, και ελευθεροις ανδρασιν [7]εντρυφωντες, και του θανατου τοπαραπαν ου μνημονευοντες· τοιγαρουν οιμωζετε, παντων εκεινων [8]αφηρημενοι. ΚΡΟΙ. [9]Πολλων γε, ω θεοι, και μεγαλων κτηματων. ΜΙΔ. Ὁσου μεν εγω χρυσου. ΣΑΡ. Ὁσης δ' εγω τρυφης. ΜΕΝ. Ευγε, ούτω ποιειτε· οδυρεσθε μεν ὑμεις· εγω δε, [10]το ΓΝΩΘΙ ΣΑΥΤΟΝ πολλακις συνειρων, [11]επασομαι ὑμιν· [12]πρεποι γαρ αν ταις τοιαυταις οιμωγαις επᾳδομενον.

ΔΙΑΛΟΓΟΣ ε.

ΖΗΝΟΦΑΝΤΗΣ, ΚΑΛΛΙΔΗΜΙΔΗΣ.

ΖΗ. Συ δε, ω Καλλιδημιδη, πως απεθανες; [13]εγω μεν γαρ ότι παρασιτος ων Δεινιου, πλεον του ἱκανου

νου εμφαγων, απεπνιγην, οισθα· παρης γαρ αποθνησκοντι μοι. ΚΑΛ. Παρην, ω Ζηνοφαντες· [1]το δ' εμον παραδοξον τι εγενετο· [2]οισθα και γαρ συ που Πτοιοδωρον τον γεροντα· ΖΗ. [3]Τον ατεκνον, τον πλουσιον, [4]ᾧ σε τα πολλα ηδειν συνοντα; ΚΑΛ. Εκεινον αυτον αει εθεραπευον, [5]ὑπισχνουμενος επ' εμοι τεθνηξεσθαι. Επει δε [6]το πραγμα ες μηκιστον επεγινετο, και [7]ὑπερ τον Τιθωνον ὁ γερων εζη, επιτομον τινα ὁδον επι τον κληρον [8]εξευρον· πριαμενος γαρ φαρμακον, [9]ανεπεισα τον οινοχοον, [10]επειδαν ταχιστα ὁ Πτοιοδωρος αιτηση πιειν, [11]πινει δ' επιεικως, [12]ζωροτερον εμβαλοντα ες κυλικα, ἑτοιμον εχειν αυτο, και επιδουναι αυτῳ· ει δε τουτο ποιησει, ελευθερον [13]επωμοσαμην αφησειν αυτον. ΖΗ. Τι ουν εγενετο; πανυ γαρ τι παραδοξον ερειν εοικας. ΚΑΛ. Επει τοινυν λουσαμενοι ἡκομεν, δυο ηδη ὁ μειρακισκος κυλικας ἑτοιμους εχων, [14]την μεν τῳ Πτοιοδωρῳ την εχουσαν το φαρμακον, την δ' ἑτεραν εμοι, [15]σφαλεις ουκ οιδ' ὁπως, εμοι μεν το φαρμακον, Πτοιοδωρῳ δε το αφαρμακτον επεδωκεν· ειτα ὁ μεν επινεν· εγω δε αυτικα [16]μαλα εκταδην εκειμην ὑποβολιμαιος αντ' εκεινου νεκρος. [17]Τι τουτο; γελᾳς, ω Ζηνοφαντες; και μην ουκ εδει γε ἑταιρῳ ανδρι επιγελᾳν. ΖΗ. [18]Αστεια γαρ, ω Καλλιδημιδη, πεπονθας· ὁ γερων δε, [19]τι προς ταυτα; ΚΑΛ. Πρωτον μεν [20]ὑπεταραχθη προς το αιφνιδιον· ειτα [21]συν-

εις,

εις, οιμαι, το γεγενημενον, [1] εγελα και αυτος οἱα γε ὁ οινοχοος ειργασται. ΖΗ. [2] Πλην αλλ' ουδε σε την επιτομον εχρην τραπεσθαι· [3] ἡκε γαρ αν σοι [4] δια της λεωφορου ασφαλεστερον, ει και ολιγῳ βραδυτερος ην.

ΔΙΑΛΟΓΟΣ ϛ.

ΠΛΟΥΤΩΝ, ΠΡΩΤΕΣΙΛΑΟΣ, ΠΕΡΣΕΦΟΝΗ.

ΠΡΩ. Ω δεσποτα, και βασιλευ, και ἡμετερε Ζευ, και συ, Δημητρος θυγατερ, [5] μη ὑπεριδητε δεησιν ερωτικην. ΠΛΟΥ. Συ δε τινος δεῃ παρ' ἡμων; [6] η τις ων τυγχανεις; ΠΡΩ. Ειμι μεν Πρωτεσιλαος, [7] ὁ Ιφικλου, Φυλακιος, συστρατιωτης των Αχαιων, και πρωτος αποθανων [8] των επ' Ιλιῳ· δεομαι δε, [9] αφεθεις προς ολιγον, [10] αναβιωναι παλιν. ΠΛΟΥ. Τουτον μεν τον ερωτα, ω Πρωτεσιλαε, παντες νεκροι ερωσι· πλην ουδεις αν αυτων [11] τυχῃ. ΠΡΩ. Αλλ' [12] ου του ζην, Αϊδωνευ, ερω εγωγε, της γυναικος δε, ἡν νεογαμον ετι εν τῳ θαλαμῳ καταλιπων, [13] ῳχομην αποπλεων· ειτα ὁ κακοδαιμων εν τῃ αποβασει απεθανον ὑπο του Ἑκτορος· ὁ ουν ερως της γυναικος ου μετριως αποκναιει με, ὠ δεσποτα· και βουλομαι, [14] καν προς ολιγον οφθεις αυτῃ, καταβηναι παλιν. ΠΛΟΥ. Ουκ ἐπιες, ω Πρωτεσιλαε, το Ληθης ὑδωρ; ΠΡΩ. [15] Και μαλα, ω δεσποτα· το δε πραγμα ὑπερογκον

ογκον ην. ΠΛΟΥ. Ουκουν περιμεινον· αφιξεται γαρ εκεινη ποτε, και ουδεν σε ανελθειν δεησει. ΠΡΩ. Αλλ' ου φερω την διατριβην, ω Πλουτων· [1] ηρασθης δε και αυτος ηδη, και [2] οισθα οἱον το εραν εστιν. ΠΛΟΥ. Ειτα τι σε ονησει μιαν ἡμεραν αναβιωναι, μετ' ολιγον τα αυτα οδυρουμενον; ΠΡΩ. [3] Οιμαι πεισειν κα'κεινην ακολουθειν παρ ὑμας· ὡστε ανθ' ἑνος, δυο νεκρους [4] ληψῃ μετ' ολιγον. ΠΛΟΥ. Ου θεμις γενεσθαι ταυτα, [5] ουδε εγενετο πωποτε. ΠΡΩ. Αναμνησω σε, ω Πλουτων· Ορφει γαρ, [6] δι' αὐτην ταυτην την αιτιαν, την Ευρυδικην παρεδοτε, και την [7] ὁμογενη μου Αλκηστιν παρεπεμψατε Ἡρακλει χαριζομενοι. ΠΛΟΥ. Θελησεις δε, οὑτω κρανιον γυμνον ων, και αμορφον, τῃ καλῃ σου εκεινῃ νυμφῃ [8] φανηναι; πως δε κα'κεινη [9] προσοψεται σε, ουδε [10] διαγνωναι δυναμενη; [11] Φοβησεται γαρ, ευ οιδα, και [12] φευξεται σε· και ματην [13] εσῃ τοσαυτην ὁδον ανεληλυθως. ΠΕΡ. Ουκουν, ω ανερ, συ και τουτ' [14] ιασαι, και τον Ἑρμην κελευσον, επειδαν εν τῳ φωτι ηδη ὁ Πρωτεσιλαος ῃ, [15] καθικομενον εν τῃ ῥαβδῳ, νεανιαν ευθυς καλον [16] απεργασασθαι αυτον, οἱος ην εκ του παστου. ΠΛΟΥ. Επει Περσεφονῃ συνδοκει, αναγαγων τουτον αυθις, ποιησον νυμφιον· συ δε [17] μεμνησο μιαν λαβων ἡμεραν.

ΔΙΑ-

ΔΙΑΛΟΓΟΣ ζ.

ΜΕΝΙΠΠΟΣ ΚΑΙ ΤΑΝΤΑΛΟΣ.

ΜΕ. [1] Τι κλαεις, ω Ταντταλε; η τι σεαυτον οδυρῃ, [2] επι τῃ λιμνῃ εστως; ΤΑΝ. Ὁτι, ω Μενιππε, [3] απολωλα ὑπο του διψους. ΜΕ. Οὑτως αργος ει, ὡς μη επικυψας πιειν, [4] η και νη Δι' αρυσαμενος κοιλῃ τῃ χειρι; ΤΑΝ. [5] Ουδεν οφελος, ει επικυψαιμι· φευγει γαρ το ὑδωρ, επειδαν προσιοντα [6] αισθηται με· ην δε ποτε και αρυσωμαι, και [7] προσενεγκω τῳ στοματι, [8] ου φθανω βρεξας ακρον το χειλος, και δια των δακτυλων διαῤῥυεν, ουκ οιδ' ὁπως, αυθις απολειπει ξηραν την χειρα μου. ΜΕ. Τεραστιον τι πασχεις, ω Ταντταλε· αταρ ειπε μοι, [9] τι γαρ και δεῃ του πιειν; ου γαρ σωμα εχεις· αλλ' εκεινο μεν εν Λυδιᾳ που τεθαπται, ὁπερ και [10] πεινῃν, και διψῃν εδυνατο· συ δε, ἡ ψυχη, πως αν ετι η [11] διψῳης, η πινοις; ΤΑΝ. [12] Τουτ' αυτο ἡ κολασις εστι, το διψῃν μου την ψυχην ὡς σωμα ουσαν. ΜΕ. Αλλα τουτο μεν οὑτω πιστευσομεν, επει [13] φῃς τῳ διψει κολαζεσθαι· τι δ' ουν σοι το δεινον [14] εσται; [15] η δεδιας μη ενδειᾳ του ποτου αποθανῃς; ουχ ὁρω γαρ ἀλλον μετα τουτον ᾀδην, [16] η θανατον εντευθεν εις ἑτερον τοπον. ΤΑΝ. Ορθως μεν λεγεις· και τουτο δ' ουν μερος της καταδικης, [17] το επιθυμειν πιειν, μηδεν δεομενον.

ΜΕ.

ΜΕ. Ληρεις, ω Ταντάλε, και [1]ὡς αληθως ποτου δεισθαι δοκεις, ακρατου γε ἑλλεβορου, νη Δια, [2] ὁστις τουναντιον τοις υπο των λυττωντων κυνων δεδηγμενοις πεπονθας, ου το ὑδωρ, αλλα την διψαν πεφοβημενος. ΤΑΝ. Ουδε τον ἑλλεβορον, ω Μενιππε, αναινομαι πιειν· [3]γενοιτο μοι μονον. ΜΕ. [4]Θαρρει, ω Ταντάλε, ὡς ουτε συ, ουτε αλλος [5] πιεται των νεκρων· αδυνατον γαρ· [6]καιτοι ου παντες, ὡσπερ συ, εκ καταδικης διψωσι, του ὑδατος αυτους ουχ ὑπομενοντος.

ΔΙΑΛΟΓΟΣ η.

ΑΙΑΚΟΣ, ΠΡΩΤΕΣΙΛΑΟΣ, ΜΕΝΕΛΑΟΣ, ΠΑΡΙΣ.

ΑΙ. [7]Τι αγχεις, ω Πρωτεσιλαε, την Ἑλενην προσπεσων; ΠΡΩ. Ὁτι δια ταυτην, ω Αιακε, απεθανον, [8] ἡμιτελη μεν τον δομον καταλιπων, χηραν τε την νεογαμον γυναικα. ΑΙ. [9]Αιτιω τοινυν τον Μενελαον, ὁστις ὑμας ὑπερ τοιαυτης γυναικος επι Τροιαν ηγαγεν. ΠΡΩ. Ευ λεγεις· εκεινον μοι [10] αιτιατεον. ΜΕΝ. [11] Ουκ εμε, ω βελτιστε, αλλα δικαιοτερον τον Παριν, ὁς εμου του ξενου την γυναικα παρα παντα τα δικαια [12] ωχετο ἁρπασας· οὑτος γαρ ουχ ὑπο σου μονου, αλλ' ὑπο παντων Ἑλληνων τε και βαρβαρων αξιος αγχεσθαι, τοσουτοις θανατου αιτιος γεγενημενος. ΠΡΩ. [13]Αμεινον οὑτω· σε τοιγαρουν, ω

[1] δυσ-

[1] δυσπαρι, ουκ αφησω ποτε [2] απο των χειρων. ΠΑ. [3] Αδικα ποιων, ω Πρωτεσιλαε, [4] και ταυτα, ὁμοτεχνον οντα σοι, ερωτικος γαρ και αυτος ειμι, [5] και τῳ αυτῳ θεῳ, κατεσχημαι· [6] οισθα δε, ὡς ακυσιον τι εστι, και τις ἡμας δαιμων αγει, ενθα αν εθελῃ· και αδυνατον εστιν αντιταττεσθαι αυτῳ. ΠΡΩ. Ευ λεγεις· ειθε ουν μοι τον Ερωτα ενταυθα λαβειν δυνατον ην. ΑΙ. Εγω σοι και περι του Ερωτος αποκρινουμαι τα δικαια· [7] φησει γαρ αυτος μεν του εραν τῳ Παριδι ισως γεγενησθαι αιτιος· του θανατου δε σοι ουδενα αλλον, ω Πρωτεσιλαε, η σεαυτον, ὁς [8] εκλαθομενος της νεογαμου γυναικος, επει προσεφερεσθε τῃ Τρῳαδι, οὑτω φιλοκινδυνως και απονενοημενως [9] προεπηδησας των αλλων, [10] δοξης ερασθεις, δι ἡν πρωτος εν τῃ αποβασει απεθανες. ΠΡΩ. Ουκουν και ὑπερ εμαυτου σοι, ω Αιακε, αποκρινουμαι δικαιοτερα· ου γαρ εγω τουτων αιτιος, αλλ' ἡ Μοιρα, [11] και το εξ αρχης οὑτως επικεκλωσθαι. ΑΙ. Ορθως· τι ουν τουτους αιτιᾳ;

ΔΙΑΛΟΓΟΣ θ.

ΔΙΟΓΕΝΗΣ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΣ.

ΔΙΟ. [12] Τι τουτο, ω Αλεξανδρε; και συ τεθνηκας, ὡσπερ και ἡμεις ἁπαντες; ΑΛΕ. Ὁρᾳς, ω Διογενες· ου παραδοξον δε, ει ανθρωπος ων απεθανον. ΔΙΟ. Ουκουν

Ουκουν ὁ Αμμων [1] εψευδετο, λεγων ἑαυτου σε ειναι υἱον· συ δε Φιλιππου αρα [2] ησθα; ΑΛΕ. Φιλιππου δηλαδη· ου γαρ αν ετεθνηκειν [3] Αμμωνος ων. ΔΙΟ. Και μην και περι της Ολυμπιαδος [4] ὁμοια ελεγοντο, δρακοντα ὁμιλειν αυτῃ, και βλεπεσθαι εν τῃ ευνῃ· ειτα οὑτω σε [5] τεχθηναι· τον δε Φιλιππον [6] εξηπατησθαι οιομενον πατερα σου ειναι. ΑΛΕ. Κᾳ'γω ταυτα ηκουον, ὡσπερ συ· νυν δε ὁρω, ὁτι ουδεν ὑγιες ουτε ἡ μητηρ, ουτε οἱ των Αμμωνιων προφηται ελεγον. ΔΙΟ. Αλλα το ψευδος αυτων ουκ αχρηστον σοι, ω Αλεξανδρε, προς τα πραγματα εγενετο· πολλοι γαρ ὑπεπτησσον, θεον ειναι σε νομιζοντες. Αταρ ειπε μοι, τινι την τοσαυτην αρχην καταλελοιπας; ΑΛΕ. Ουκ οιδα, ω Διογενες· [7] ου γαρ εφθασα επισκηψαι τι περι αυτης, η τουτο μονον, ὁτι αποθνησκων Περδικκᾳ τον δακτυλιον επεδωκα· [8] πλην αλλα τι γελᾳς, ω Διογενες; ΔΙΟ. [9] Τι γαρ αλλο, η ανεμνησθην, [10] οἱα εποιει ἡ Ἑλλας, αρτι σε [11] παρειληφοτα την αρχην κολακευοντες, και προστατην αἱρουμενοι και στρατηγον επι τους βαρβαρους· ενιοι δε και τοις δωδεκα θεοις προστιθεντες, [12] και νεως οικοδομουμενοι, και θυοντες ὡς δρακοντος ὑιῳ; Αλλ' ειπε μοι, που σε οἱ Μακεδονες εθαψαν; ΑΛΕ. Ετι εν Βαβυλωνι κειμαι τριτην ταυτην ἡμεραν· ὑπισχνειται δε Πτολεμαιος ὁ ὑπασπιστης, [13] ην ποτε αγαγῃ σχολην

σχολην απο των θορυβων των εν ποσιν, ες Αιγυπτον απαγαγων με θαψειν εκει, ὡς γενοιμην ἑις των Αιγυπτιων θεων. ΔΙΟ. Μη γελασω, ω Αλεξανδρε, ὁρων [1] εν ᾁδου ετι σε μωραινοντα, και ελπιζοντα, Ανουβιν, η Οσιριν γενεσθαι; Πλην αλλα ταυτα μεν, ω θειοτατε, μη ελπισῃς· ου γαρ θεμις ανελθειν τινα των ἁπαξ διαπλευσαντων την λιμνην, και [2] ες τον εισω του στομιου παρελθοντων· ου γαρ αμελης ὁ Αιακος, ουδ' ὁ Κερβερος ευκαταφρονητος. Εκεινα δε ἡδεως αν μαθοιμι παρα σου, πως φερεις, ὁποτ' αν εννοησῃς [3] ὁσην ευδαιμονιαν ὑπερ γης απολιπων αφιξαι, σωματοφυλακας, και ὑπασπιστας, και σατραπας, και χρυσον τοσουτον, και εθνη προσκυνουντα, και Βαβυλωνα, και Βακτρα, και [4] τα μεγαλα θηρια, και τιμην, και δοξαν, [5] και το επισημον ειναι ελαυνοντα, διαδεδεμενον ταινιᾳ λευκῃ την κεφαλην, πορφυριδα εμπεπορπημενον· ου λυπει ταυτα σε ὑπο την μνημην ιοντα; τι δακρυεις, ω ματαιε; ουδε ταυτα σε ὁ σοφος Αριστοτελης επαιδευσε μη οιεσθαι βεβαια ειναι [6] τα παρα της τυχης; ΑΛΕ. Σοφος! ἁπαντων εκεινος κολακων επιτριπτοτατος ων! [7] εμε μονον εασον τα Αριστοτελους ειδεναι, ὁσα μεν ητησε παρ' εμου, [8] οἱα δε επεστελλεν· [9] ὡς δε κατεχρητο μου τῃ περι παιδειαν φιλοτιμιᾳ, θωπευων και επαινων, αρτι μεν ες το καλλος, [10] ὡς και τουτο μερος ον τ'αγαθου, αρτι δ' ες τας πραξεις, και τον πλουτον·

και

και γαρ αυ και τουτ' αγαθον ἡγειτ' ειναι, [1] ὡς μη αισχυνοιτο και αυτος λαμβανων. Γοης, ω Διογενες, ανθρωπος, και τεχνιτης· [2] πλην αλλα τουτο γε [3] απολελαυκα αυτου της σοφιας, [4] το λυπεισθαι ὡς επι μεγιστοις αγαθοις, ἁ [5] κατηριθμησω μικρῳ γε εμπροσθεν. ΔΙΟ. Αλλ' [6] οισθα ὁ δρασεις; ακος γαρ σοι της λυπης [7] ὑποθησομαι, επει ενταυθα γε ἑλλεβορος ε φυεται. [8] Συ δε, κα'ν το Ληθης ὑδωρ χανδον επισπασαμενος πιε, και αυθις πιε; και πολλακις· οὑτω γαρ αν [9] παυσῃ επι τοις Αριστοτελους αγαθοις ανιωμενος· [10] και γαρ και Κλειτον εκεινον ὁρω, και Καλλισθενη, και αλλους πολλους επι σε ὁρμωντας, ὡς διασπασαιντο και αμυναιντο σε, [11] ὡν εδρασας αυτυς· [12] ὡστε την ἑτεραν συ ταυτην βαδιζε· και πινε πολλακις, ὡς εφην.

ΔΙΑΛΟΓΟΣ ι.

ʽΕΡΜΗΣ, ΧΑΡΩΝ.

ʽΕΡ. [13] Λογισωμεθα, ω Πορθμευ, ει δοκει, ὁποσα μοι οφειλεις ηδη, ὁπως μη αυθις εριζωμεν τι περι αυτων. ΧΑ. Λογισωμεθα, ω ʽΕρμη· [14] αμεινον γαρ ὡρισαι περι αυτων, και απραγμονεστερον. ʽΕΡ. Αγκυραν [15] εντειλαμενῳ εκομισα [16] πεντε δραχμων. ΧΑ. [17] Πολλου λεγεις. ʽΕΡ. Νη τον Αϊδωνεα, των πεντε ωνησαμην, και τροπωτηρα δυο οβολων. ΧΑ. [18] Τιθει πεντε

πεντε δραχμας, και οϐολους δυο. ῾ΕΡ. Και ακεστραν [1] ὑπερ του ἱστιου, πεντε οϐολους εγω κατεϐαλον. ΧΑ. Και τουτους προστιθει. ῾ΕΡ. Και κηρον [2] ὡς επιπλασαι του σκαφιδιου τα ανεῳγοτα, και ἡλους δε, και καλωδιον, αφ᾽ οὑ την ὑπεραν εποιησας, [3] δυο δραχμων ἁπαντα. ΧΑ. Ευγε, [4] αξια ταυτα ωνησω. ῾ΕΡ. Ταυτα εστιν, ει μη τι αλλο ἡμας [5] διελαθεν εν τῳ λογισμῳ. Ποτε δ᾽ ουν ταυτ᾽ [6] αποδωσειν φης; ΧΑ. Νυν μεν, ω ῾Ερμη, αδυνατον· ην δε λοιμος τις η πολεμος καταπεμψῃ αθροους τινας, [7] ενεσται τοτε αποκερδαναι εν τῳ πληθει παραλογιζομενον τα πορθμια. ῾ΕΡ. Νυν ουν εγω [8] καθεδουμαι τα κακιστα ευχομενος γενεσθαι, ὡς αν ὑπο τουτων απολαυοιμι. ΧΑ. Ουκ εστιν αλλως, ω ῾Ερμη· νυν δ᾽ ολιγοι, ὡς ὁρᾳς, αφικνουνται ἡμιν· ειρηνη γαρ. ῾ΕΡ. Αμεινον οὑτως, ει και ἡμιν παρατεινοιτο ὑπο σου το οφλημα· πλην αλλ᾽ οἱ μεν παλαιοι, ω Χαρων, οισθα οἱοι παρεγινοντο, ανδρειοι ἁπαντες, αἱματος [9] αναπλεῳ, και τραυματιαι οἱ πολλοι· νυν δε η φαρμακῳ τις ὑπο του παιδος αποθανων, η ὑπο της γυναικος, η ὑπο τρυφης [10] εξῳδηκως την γαστερα, και τα σκελη· ωχροι γαρ ἁπαντες, και αγεννεις, ουδε ὁμοιοι εκεινοις· οἱ δε πλειστοι αυτων, δια χρηματα ἡκουσιν, ὡς επιϐουλευοντες αλληλοις, [11] ὡς εοικασι. ΧΑ. [12] Πανυ γαρ περιποθητα εστι ταυτα. ῾ΕΡ. Ουκουν ουδ᾽ εγω δοξαιμι αν ἁμαρτανειν, πικρως απαιτων τα οφειλομενα παρα σου.

ΛΟΥ-

[1] ΛΟΥΚΙΑΝΟΥ

ΜΥΘΩΔΗ.

ΔΙΑΛΟΓΟΣ α.

ΖΕΥΣ ΚΑΙ ἙΡΜΗΣ.

Ζ. Την του Ιναχου παιδα την καλην [2] οισθα, ω Ἑρμη; ἙΡ. Ναι· την Ιω λεγεις. Ζ. Ουκ ετι παις εκεινη εστιν, αλλα δαμαλις. ἙΡ. Τεραστιον τουτο· [3] τῳ τροπῳ δ' [4] ενηλλαγη; Ζ. Ζηλοτυπησασα ἡ Ἡρα, [5] μετεβαλεν αυτην· αλλα και καινον αλλο τι δεινον [6] επιμεμηχανηται τῃ κακοδαιμονι· βουκολον τινα πολυομματον, Αργον [7] τοὔνομα, επεστησεν, ὁς νεμει την δαμαλιν, αϋπνος ων. ἙΡ. Τι ουν ἡμας χρη ποιειν; Ζ. [8] Καταπταμενος ες την Νεμεαν, εκει δε [9] που ὁ Αργος βουκολει, εκεινον μεν αποκτεινον· την δε Ιω δια του πελαγους ες την Αιγυπτον απαγαγων, Ισιν ποιησον. Και [10] τολοιπον εστω Θεος [11] τοις εκει· [12] και τον Νειλον αναγετω, και τους ανεμους επιπεμπετω, και σωζετω τους πλεοντας.

ΔΙΑ-

ΔΙΑΛΟΓΟΣ β.

ΙΡΙΣ ΚΑΙ ΠΟΣΕΙΔΩΝ.

ΙΡ. [1]Την νησον την πλανωμενην, ω Ποσειδον, την αποσπασθεισαν της Σικελιας, ὑφαλον επινηχεσθαι συμβεβηκε· ταυτην, φησιν ὁ Ζευς, στησον ηδη, και αναφηνον, και ποιησον ηδη [2]δηλον εν τῳ Αιγαιῳ μεσῳ βεβαιως μενειν, στηριξας πανυ ασφαλως· [3]δειται γαρ τι αυτης. ΠΟ. [4]Πεπραξεται τουτο, ω Ιρι· τινα δε ὁμως παρεξει αυτῳ την χρειαν [5]αναφανεισα, και μηκετι πλεουσα; ΙΡ. Την Λητω επ' αυτης δει αποκυησαι, ηδη γαρ [6]πονηρως ὑπο των ωδινων εχει. ΠΟ. Τι ουν; ουχ ἱκανος ὁ ουρανος [7]εντεκειν; ει δε μη οὑτος, αλλα γε πασα ἡ γη ουκ αν ὑποδεξασθαι δυναιτο τας αυτης γονας; ΙΡ. Ουκ, ω Ποσειδον· ἡ Ἡρα γαρ ὁρκῳ μεγαλῳ [8]κατελαβε την γην, μη παρασχειν τῃ Λητοι των ωδινων ὑποδοχην· ἡ τοινυν νησος αυτη ανωμοτος εστιν· αφανης γαρ ην. ΠΟ. Συνιημι· [9]στηθι, ω νησε, και αναδυθι αυθις εκ του βυθου, και μηκετι [10]ὑποφερου, αλλα βεβαιως μενε, και [11]ὑποδεξαι, ω ευδαιμονεστατη, [12]του αδελφου τα τεκνα δυο, τους καλλιστους των θεων. Και ὑμεις, ω Τριτωνες, διαπορθμευσατε την Λητω ες αυτην· και γαληνα ἁπαντα εστω. Τον δρακοντα δε, ὁς νυν εξοιστρει αυτην φοβων, τα νεογνα, επειδαν [13]τεχθῃ, αυτικα [14]μετεισι, και τιμω-

ρησει

φησει τη μητρι. Συ δε απαγγελλε τῳ Διϊ παντα ειναι ευτρεπη· [1]ἑστηκεν ἡ Δηλος· ἡκετω ἡ Λητω και τικτετω.

ΔΙΑΛΟΓΟΣ γ.

ΞΑΝΘΟΣ ΚΑΙ ΘΑΛΑΣΣΑ.

ΞΑΝ. [2]Δεξαι με, ω Θαλασσα, δεινα [3]πεπονθοτα· [4]κατασβεσον μου τα τραυματα. ΘΑ. Τι τουτο, ω [5]Ξανθε; τις σε [6]κατεκαυσεν; ΞΑΝ. Ἡφαιστος. Αλλ' [7]απηνθρακωμαι όλως ὁ κακοδαιμων, και ζεω. ΘΑ. Διατι δε σοι ενεβαλε το πυρ; ΞΑΝ. Δια [8]τον υἱον της Θετιδος· επει γαρ φονευοντα τους Φρυγας ἱκετευσα, ὁδ' ουκ [9]επαυσατο της οργης, αλλ' ὑπο των νεκρων [10]απεφραττε μοι τον ῥουν, ελεησας τους αθλιους επηλθον, επικλυσαι θελων, ὡς φοβηθεις [11]αποσχοιτο των ανδρων. Ενταυθα ὁ Ἡφαιστος, [12]ετυχε και γαρ πλησιον που ων, παν [13]ὁσον, οιμαι, πυρ ειχε, και ὁσον εν τῃ Αιτνῃ, και [14]ειποθι αλλοθι, φερων επηλθε μοι· και εκαυσε μεν τας πτελεας, και μυρικας· ωπτησε δε και τους κακοδαιμονας ιχθυς, και τας εγχελυας· [15]αυτον δε εμε ὑπερκαχλασαι ποιησας, [16]μικρου δειν ὁλον ξηρον ειργασται· ὁρᾳς δ' ουν, ὁπως διακειμαι ὑπο των εκκαυματων. ΘΑ. [17]Θολερος, ω Ξανθε, και θερμος, ὡς εικος· [18]το αἱμα μεν,

μεν, απο των νεκρων· ἡ θερμη δε, ὡς φης, απο του πυρος· και εικοτως, ω Ξανθε, ὁς επι τον εμον υἱον ὡρμησας, [1] ουκ αιδεσθεις ὁτι Νηρηϊδος υἱος ην. ΞΑΝ. Ουκ εδει ουν ελεησαι γειτονας οντας τους Φρυγας; ΘΑ. Τον Ἡφαιστον δε ουκ εδει ελεησαι Θετιδος υἱον οντα τον Αχιλλεα;

ΔΙΑΛΟΓΟΣ δ.

ἩΦΑΙΣΤΟΣ ΚΑΙ ΖΕΥΣ.

ἩΦΑΙ. Τι με, ω Ζευ, δει ποιειν; ἡκα γαρ, ὡς εκελευσας, εχων τον πελεκυν οξυτατον, ει και λιθους δεοι μια πληγη [2] διατεμειν· Ζ. Ευγε, ω Ἡφαιστε· αλλα [3] διελε μου την κεφαλην εις δυο [4] κατενεγκων. ἩΦΑΙ. [5] Πειρα μου, ει μεμηνα; [6] προσταττε δ' ουν τ'αληθες, ὁπερ θελεις σοι γενεσθαι. Ζ. Διαιρεθηναι μοι το κρανιον· ει δε απειθησεις, ου νυν πρωτον οργιζομενου πειραση μου· [7] αλλα χρη καθικνεισθαι παντι τω θυμω, μηδε μελλειν· απολλυμαι γαρ ὑπο των ωδινων, [8] αἱ μου τον εγκεφαλον αναστρεφουσιν. ἩΦΑΙ. Ὁρα, ω Ζευ, μη κακον τι ποιησωμεν· οξυς γαρ ὁ πελεκυς εστι, και ουκ αναιμωτι, [9] ουδε κατα την Ειλειθυιαν μαιωσεται σε. Ζ. Κατενεγκε μονον, ω Ἡφαιστε, θαρρων· οιδα γαρ εγω το συμφερον. ἩΦΑΙ. Ακων μεν, [10] κατοισω δε. Τι γαρ χρη ποιειν,

σου

σου κελευοντος; Τι τουτο; κορη ενοπλος; μεγα, ω Ζευ, κακον ειχες εν τη κεφαλη· εικοτως γουν [1] οξυθυμος ησθα, [2] τηλικαυτην υπο την μηνιγγα παρθενον ζωογονων, και ταυτα ενοπλον· ηπυ στρατοπεδον, ου κεφαλην [3] ελεληθεις εχων. Ἡ δε πηδα και [4] πυῤῥιχιζει, και την ασπιδα τινασσει, και το δορυ παλλει, και ενθουσια· και [5] το μεγιστον, καλη πανυ και ακμαια [6] γεγενηται ηδη [7] εν βραχει. Γλαυκωπις μεν, αλλα κοσμει και [8] τουτο ἡ κορυς· ὡστε, ω Ζευ, μαιωτρα μοι αποδος [9] εγγυησας μοι αυτην. Ζ. Αδυνατα αιτεις, ω Ἡφαιστε· παρθενος γαρ αει θελει μενειν· εγω γουν [10] το γε επ᾽ εμοι ουδεν αντιλεγω. ΗΦΑΙ. Τουτ᾽ εβουλομην. Ἐμοι μελησει τα λοιπα· και ηδη συναρπασω αυτην. Ζ. Ει σοι ῥαδιον, οὑτω ποιει· πλην οιδα ὁτι αδυνατων ερᾳς.

ΔΙΑΛΟΓΟΣ ι.

ΖΕΥΣ, ΑΣΚΛΗΠΙΟΣ, ἩΡΑΚΛΗΣ.

ΖΕ. [11] Παυσασθε, ω Ασκληπιε και Ἡρακλεις, εριζοντες προς αλληλους ὡσπερ ανθρωποι· [12] απρεπη γαρ ταυτα, και [13] αλλοτρια του συμποσιου των θεων. ἩΡΑ. Αλλα εθελεις, ω Ζευ, [14] τουτονι τον φαρμακεα προκατακλινεσθαι μου; ΑΣΚ. Νη Δια· και αμεινων γαρ ειμι. ἩΡΑ. Κατα τι, ω εμβροντητε; η διοτι σε

ὁ

ὁ Ζευς εκεραυνωσεν, [1] ἁ μη θεμις ποιουντα, νυν δε κατ' ελεον αυθις αθανασιας [2] μετειληφας; ΑΣΚ. [3] Επιλελησαι γαρ και συ, ω Ἡρακλες, εν τη Οιτη καταφλεγεις, ὁτι μοι ονειδιζεις το πυρ; ἩΡΑ. [4] Ουκουν ισα και ὁμοια βεβιωται ἡμιν· ὁς Διος μεν υἱος ειμι, [5] τοσαυτα δε πεπονηκα εκκαθαιρων τον βιον, θηρια καταγωνιζομενος, και ανθρωπους ὑβριστας τιμωρημενος· συ δε ῥιζοτομος ει, και αγυρτης, νοσουσι μεν ισως ανθρωποις χρησιμος [6] επιθησειν των φαρμακων, ανδρωδες δε ουδεν [7] επιδεδειγμενος. ΑΣΚ. Ευ λεγεις· ὁτι σου τα εγκαυματα ιασαμην, ὁτε πρωην ανηλθες ἡμιφλεκτος ὑπ' αμφοιν [8] διεφθαρμενος τω σωματι, [9] του χιτωνος, και μετα τουτο, του πυρος· εγω δε, ει και μηδεν αλλο, ουτε εδουλευσα ὡσπερ συ, [10] ουτε εξαινον ερια εν Λυδια, [11] πορφυριδα ενδεδυκως, και παιομενος [12] ὑπο της Ομφαλης χρυσω σανδαλω· αλλ' [13] ουδε μελαγχολησας απεκτεινα τα τεκνα και την γυναικα. ἩΡΑ. Ει μη [14] παυση λοιδορουμενος μοι, αυτικα [15] μαλα εισῃ, ὡς ου πολυ σε ονησει ἡ αθανασια· επει [16] αραμενος σε ῥιψω επι κεφαλην εκ του ουρανου, [17] ὡστε μηδε τον Παιηονα ιασασθαι σε, το κρανιον συντριβεντα. Ζ. Παυσασθε, φημι, και μη επιταραττετε ἡμιν την ξυνουσιαν, η αμφοτερους [18] αποπεμψομαι ὑμας του συμποσιου· [19] καιτοι ευγνωμον,

γνωμον, ω Ἡρακλες, προκατακλινεσθαι σου τον Ασκληπιον, ἁτε και προτερον αποθανοντα.

ΔΙΑΛΟΓΟΣ ϛ.

ΑΡΗΣ ΚΑΙ ἙΡΜΗΣ.

ΑΡ. Ηκουσας, ω Ἑρμη, οια ηπειλησεν ἡμιν ὁ Ζευς, ὡς ὑπεροπτικα και απιθανα; [1]Ην εθελησω, φησιν, εγω μεν εκ του ουρανου σειραν καθησω, [2]ὑμεις δ' ην αποκρεμασθεντες κατασπαν βιαζησθε με, ματην πονησετε· ου γαρ δη καθελκυσετε· ει δε εγω θελησαιμι ανελκυσαι, ου μονον ὑμας, αλλα και την γην ἁμα, [3]και την θαλασσαν συναρτησας μετεωριω· και τ'αλλα ὁσα και συ [4]ακηκοας. Εγω δε, ὁτι μεν [5]καθ' ἑνα ἁπαντων αμεινων, και ισχυροτερος εστιν, [6]ουκ αν αρνηθειην· [7]ὁμου δε των τοσουτων ὑπερφερειν, [8]ὡς μη καταβαρησειν αυτον, κα'ν την γην, κα'ν την θαλασσαν [9]προσλαβωμεν, [10]ουκ αν πεισθειην. ἙΡ. [11]Ευφημει, ω Αρες· ου γαρ ασφαλες λεγειν τα τοιαυτα, μη και τι κακον απολαυσωμεν [12]της φλυαριας. ΑΡ. [13]Οιει γαρ με προς παντας αν ταυτα ειπειν, [14]ουχι δε προς μονον σε, ὁν εχεμυθειν ηπισταμην; [15]ὁ γουν μαλιστα γελοιον εδοξε μοι ακουοντι μεταξυ της απειλης, ουκ αν δυναιμην σιωπησαι προς σε· μεμνημαι γαρ [16]ου προ πολλου, ὁποτε [17]ὁ Ποσειδων,

σειδων, και ἡ Ἡρα, και ἡ Αθηνα [1] επαναστασαντες, [2] επεβουλευσαν ξυνδησαι αυτον λαβοντες, [3] ὡς παντοιος ην δεδιως, [4] και ταυτα τρεις οντας· και ει μη γε ἡ Θετις κατελεησασα εκαλεσεν αυτῳ συμμαχον [5] Βριαρεων, ἑκατογχειρα οντα, [6] καν εδεδετο αυτῳ κεραυνῳ και βροντῃ. Ταυτα λογιζομενῳ [7] επεισι μοι γελαν επι τῃ καλλιρρημοσυνῃ αυτου. ἘΡ. Σιωπα· ευφημει· ου γαρ ασφαλες ουτε σοι λεγειν, ουτε εμοι ακουειν τα τοιαυτα.

ΔΙΑΛΟΓΟΣ ξ.

ΜΕΝΕΛΑΟΣ ΚΑΙ ΠΡΩΤΕΥΣ.

ΜΕ. Αλλα ὑδωρ μεν σε γινεσθαι, ω [8] Πρωτευ, ουκ απιθανον, [9] εναλιον γε οντα, [10] και δενδρον ετι φορητον· και ες λεοντα ὁποτε [11] αλλαγειης, ὁμως ουδε τουτο εξω πιστεως· ει δε και πυρ γινεσθαι δυνατον εν τῃ θαλαττῃ οικουντα, τουτο πανυ θαυμαζω, και απιστω. ΠΡΩ. Μη θαυμασῃς, ω Μενελαε, γιγνομαι γαρ. ΜΕ. Ειδον και αυτος· αλλα μοι δοκεις, [12] ειρησεται γαρ προς σε, γοητειαν τινα προσαγειν τῳ πραγματι, και τους οφθαλμους εξαπαταν των ὁρωντων, αυτος ουδεν τοιουτο γιγνομενος. ΠΡΩ. Και τις αν ἡ απατη επι των οὑτως εναργων γενοιτο; ουκ [13] ανεῳγμενοις τοις οφθαλμοις ειδες, [14] ες ὁσα μετεποιησα εμαυτον; Ει δε απιστεις, και το πραγμα ψευδες

ψευδες μεν ειναι δοκει, φαντασμα δε τις προ των οφθαλμων ἱσταμενη. επειδαν πυρ γενωμαι, [1] προσενεγκαι μοι, ω γενναιοτατε, την χειρα· [2] εισῃ γαρ, ει ὁρωμαι μονον, η και [3] το καιειν τοτε μοι προσεστιν. ΜΕ. Ουκ ασφαλης ἡ πειρα, ω Πρωτευ. ΠΡΩ. Συ δε μοι, Μενελαε, δοκεις [4] ουδε πολυποδα ἑωρακεναι πωποτε, [5] ουδ' ὁ πασχει ὁ ιχθυς ουτος ειδεναι. ΜΕ. Αλλα τον μεν πολυποδα ειδον· ἁ πασχει δε, ἡδεως αν μαθοιμι παρα σου. ΠΡΩ. [6] Ὁποιᾳ αν πετρᾳ προσελθων ἁρμοσῃ τας κοτυλας, και προσφυς εχηται κατα τας πλεκτανας, εκεινῃ ὁμοιον απεργαζεται ἑαυτον, και μεταβαλλει την χροαν, μιμουμενος την πετραν, ὡς αν [7] λαθῃ τους ἁλιεας, μη διαλλαττων, μηδε φανερος ων δια τουτο, αλλ' εοικως τῳ λιθῳ. ΜΕ. Φασι ταυτα· [8] το δε σον πολλῳ παραδοξοτερον, ω Πρωτευ. ΠΡΩ. Ουκ οιδα, ω Μενελαε, τινι αν αλλῳ [9] πιστευσειας, τοις σεαυτου οφθαλμοις απιστων; ΜΕ. Ιδων ειδον· αλλα το πραγμα τερατιον, τον αυτον πυρ και ὑδωρ γιγνεσθαι.

ΔΙΑΛΟΓΟΣ η.

ΑΠΟΛΛΩΝ ΚΑΙ ἙΡΜΗΣ.

ΑΠ. [10] Εχεις μοι ειπειν, ω Ἑρμη, ποτερος ὁ Καστωρ εστι τουτων, η ποτερος ὁ Πολυδευκης; εγω γαρ

ουκ

αρα αν διακριναιμι αυτους. ʽΕΡ. ʽΟ μεν χθες ἡμιν [1] ξυγγενομενος, εκεινος Καστωρ ην, οὗτος δε Πολυδευκης. ΑΠ. Πως διαγινωσκεις; [2] ὁμοιοι γαρ. ʽΕΡ. ʽΟτι οὗτος μεν, ω Απολλον, εχει επι του προσωπου τα ιχνη των τραυματων, ἁ ελαβε παρα των ανταγωνιστων πυκτευων· και μαλιστα, [3] ὁποσα ὑπο του Βεβρυκος Αμυκου ετρωθη, τῳ Ιασονι συμπλεων· [4] ἁτερος δε ουδεν τοιουτον εμφαινει, αλλα καθαρος εστι, και απαθης [5] το προσωπον. ΑΠ. [6] Ωνησας, διδαξας τα γνωρισματα· επει ταγε αλλα παντα ισα, του ωου το ἡμιτομον, και αστηρ ὑπερανω, και ακοντιον εν τῃ χειρι, και ἱππος ἑκατερῳ λευκος· ὡστε πολλακις εγω τον μεν προσειπον Καστορα, Πολυδευκην οντα· τον δε τῳ του Πολυδευκους ονοματι. Αταρ ειπε μοι και τοδε, τι δηποτε ουκ αμφω [7] ξυνεισιν ἡμιν, αλλ' [8] εξ ἡμισειας, αρτι μεν νεκρος, αρτι δε θεος εστιν ἁτερος αυτων. ʽΕΡ. ʽΥπο φιλαδελφιας τυτο ποιουσιν· επει γαρ εδει ἑνα μεν [9] τεθναναι των Ληδας ὑιεων, ἑνα δε αθανατον ειναι, ενειμαντο ὑτως αυτοι την αθανασιαν. ΑΠ. Ου ξυνετην, ω ʽΕρμη, την νομην, ειγε ουδε οψονται οὑτως αλληλους, ὁπερ εποθουν, οιμαι, μαλιστα· πως γαρ, ὁ μεν παρα θεοις, ὁ δε παρα τοις φθιτοις ων; [10] Πλην αλλα, ὡσπερ εγω μαντευομαι, ὁ δε Ασκληπιος ιαται, συ δε παλαιειν διδασκεις, παιδοτριβης αριστος ων, ἡ δε Αρτεμις μαιευεται, και

των

των αλλων ἑκαστος εχει τινα τεχνην, η θεοις η ανθρωποις χρησιμην· οὑτοι δε, τι ποιησουσιν ἡμιν; [1] η αργοι ευωχησονται, τηλικουτοι οντες; ἙΡ. Ουδαμως· αλλα προστετακται αυτοιν ὑπηρετειν τῳ Ποσειδωνι, και καθιππευειν δει το πελαγος, και αν που ναυτας χειμαζομενους ιδωσιν, επικαθισαντας επι το πλοιον, σωζειν τους εμπλεοντας. ΑΠ. Αγαθην, ω Ἑρμη, και σωτηριον λεγεις την τεχνην.

ΔΙΑΛΟΓΟΣ ϑ.

ἙΡΜΗΣ ΚΑΙ ΜΑΙΑ.

ἙΡ. [2] Εστι γαρ τις, ω μητερ, εν ουρανῳ θεος αθλιωτερος εμου; ΜΑ. Μη λεγε, ω Ἑρμη, τοιουτον μηδεν. ἙΡ. [3] Τι μη λεγω, ὁς τοσαυτα πραγματα εχω, μονος καμνων, και προς τοσαυτας ὑπηρεσιας διασπωμενος; ἑωθεν μεν γαρ εξαναστατα σαιρειν το συμποσιον δει· και [4] διαστρωσαντα την εκκλησιαν, ειτα ευθετησαντα ἑκαστα, παρεσταναι τῳ Διϊ, και διαφερειν τας αγγελιας τας παρ' αυτου ανω και κατω ἡμεροδρομουντα· [5] και επανελθοντα ετι κεκονισμενον παρατιθεναι την αμβροσιαν· [6] πριν δε τον νεωνητον τουτον οινοχοον ἡκειν, και το νεκταρ εγω ενεχεον. Το δε παντων δεινοτατον, ὁτι μηδε νυκτος καθευδω μονος των αλλων, αλλα δει με και τοτε τῳ

Πλουτωνι

Πλουτωνι ψυχαγωγειν, και νεκροπομπον ειναι, και παρεσταναι τῳ δικαστηριῳ· ου γαρ ἱκανα μοι τα της ἡμερας εργα, εν παλαιστραις ειναι, κα'ν ταις εκκλησιαις κηρυττειν, και ῥητορας εκδιδασκειν, [1] αλλ' ετι και νεκρικα συνδιαπραττειν μερισμενον· καιτοι [2] τα μεν της Ληδας τεκνα, παρ' ἡμεραν ἑκατερος εν ουρανῳ και [3] εν ᾁδου εισιν· εμοι δε καθ' ἑκαστην ἡμεραν και ταυτα κα'κεινα ποιειν αναγκαιον. [4] Και οἱ μεν Αλκμηνης και Σεμελης υιοι, εκ γυναικων δυστηνων γενομενοι, ευωχουνται αφροντιδες· [5] ὁ δε Μαιας της Ατλαντος διακονουμαι αυτοις· και νυν αρτι ἡκοντα με απο Σιδωνος [6] παρα της Καδμου θυγατρος, εφ' ἡν [7] πεπομφε με οψομενον ὁ, τι πραττει ἡ παις, μηδε αναπνευσαντα, πεπομφεν αυθις ες το Αργος επισκεψομενον την Δαναην· ειτ' εκειθεν ες Βοιωτιαν, φησιν, ελθων, εν παροδῳ την Αντιοπην ιδε. Και ὁλως [8] απηγορευκα ηδη· ει γουν μοι δυνατον ην, ἡδεως [9] αν ηξιωσα πεπρασθαι, ὡσπερ οἱ εν γῃ κακως δουλευοντες. ΜΑ. Εα ταυτα, ω τεκνον· χρη γαρ παντα ὑπηρετειν τῳ πατρι, νεανιαν οντα· και νυν, ὡσπερ επεμφθης, σοβει ες Αργος, ειτα ες την Βοιωτιαν, μη και πληγας βραδυνων λαβοις· οξυχολοι γαρ οἱ ερωντες.

V.

V.

EX PLUTARCHI APOPHTHEGMATIS.

[1]ΠΛΟΥΤΑΡΧΟΥ ΑΠΟΦΘΕΓΜΑΤΑ.

α. Μεμνονος.

[2]ΜΕΜΝΩΝ, ὁ Αλεξανδρῳ [3]πολεμων ὑπερ Δαρειου του βασιλεως, μισθοφορον τινα, [4]πολλα βλασφημα και ασελγη περι Αλεξανδρου λεγοντα, τῃ λογχῃ παταξας, Εγω σε, ειπε, [5]τρεφω μαχουμενον, αλλ' ου λοιδορουμενον Αλεξανδρῳ.

β. Αιγυπτιων βασιλεων εθος.

Οἱ Αιγυπτιων βασιλεις κατα νομον ἑαυτων τους δικαστας [6]εξωρκιζον, ὁτι, κα'ν βασιλευς τι προσταξῃ κριναι των μη δικαιων, ου κρινουσι.

γ. Πολτυος.

Πολτυς ὁ Θρᾳκων βασιλευς, εν τῳ Τρωϊκῳ πολεμῳ [1] πρεσβευσαμενων προς αυτον ἁμα των Τρωων και των Αχαιων, [2] εκελευσε τον Αλεξανδρον, αποδοντα την Ἑλενην, δυο παρ' αυτου λαβειν καλας γυναικας.

δ. Τηρου.

Τηρης ὁ [3] Σιταλκου πατηρ ελεγεν, ὁποτε σχολαζοι και μη στρατευοιτο, [4] των ἱπποκομων οιεσθαι μηδεν διαφερειν.

ε. Ιδαθυρσου.

Ιδαθυρσος ὁ Σκυθων βασιλευς, εφ' ὁν [5] διεβη Δαρειος, επειθε τους Ιωνων τυραννους το του Ιστρου ζευγμα λυσαντας [6] απαλλαττεσθαι· μη βουληθεντας δε, δια την προς Δαρειον πιστιν, ανδραποδα χρηστα και αδραστα εκαλει.

ς. Ατεου.

Ατεας εγραφε προς τον Φιλιππον, Συ μεν [7] αρχεις Μακεδονων, ανθρωπων [8] μεμαθηκοτων πολεμειν· εγω δε Σκυθων, οἱ ϗ λιμῳ ϗ διψει μαχεσθαι δυνανται. Τους δε πρεσβεις του Φιλιππου, ψηχων τον ἱππον, [9] ηρωτησεν, ει τουτο ποιει Φιλιππος. Ισμηνιαν δε, τον αριστον αυλητην, λαβων αιχμαλωτον, εκελευσεν αυλησαι·

λησαι· [1] θαυμαζοντων δε των αλλων, αυτος [2] ωμοσεν ιδιοις ακουειν του ἱππου χρηματιζοντος.

ζ. Σκιλουρου.

Σκιλουρος ογδοηκοντα παιδας αρρενας απολιπων, [3] επει τελευταν εμελλε, δεσμην ακοντιων ἑκαστῳ προτεινων, εκελευσε καταθραυσαι· παντων δ' απαγορευσαντων, καθ' ἑν αυτος [4] εξελων ακοντιον, απαντα ῥᾳδιως [5] συνεκλασε· διδασκων εκεινους, ὁτι [6] συνεστωτες, ισχυροι διαμενουσιν, ασθενεις δ' εσονται διαλυθεντες και στασιασαντες.

η. Αγαθοκλεους.

Αγαθοκλης ὑιος ην κεραμεως· γενομενος δε κυριος Σικελιας, και βασιλευς αναγορευθεις, [7] ειωθει κεραμεα ποτηρια τιθεναι παρα τα χρυσα, και τοις νεοις επιδεικνυμενος λεγειν, [8] ὁτι τοιαυτα ποιων προτερον, νυν ταυτα ποιει δια την επιμελειαν και την ανδριαν. Πολιορκουντος δε πολιν αυτου, των απο του τειχους τινες ελοιδορουντο, λεγοντες [9] ὁτι, Ω κεραμευ, τον μισθον ποθεν αποδωσεις τοις στρατιωταις; ὁ δε πρᾳος και μειδιων ειπεν, [10] Αικα ταυταν ἑλω· λαβων δε [11] κατα κρατος, επιπρασκε τους αιχμαλωτους, λεγων, Εαν με παλιν λοιδορητε, [12] προς τους κυριους ὑμων εσται μοι ὁ λογος. Εγκαλουντων δε τοις ναυταις

αυτου

αυτου των Ιθακησιων, ότι τη νησῳ [1] προσβαλοντες, των θρεμματων τινα [2] απεσπασαν. Ὁ δε ὑμετερος, εφη, [3] βασιλευς ελθων προς ἡμας, ου μονον τα προβατα λαβων, αλλα και τον ποιμενα προσεκτυφλωσας απηλθε.

θ. Διωνος.

[4] Διων, ὁ Διονυσιον εκβαλων εκ της τυραννιδος, ακουσας επιβουλευειν αυτῳ Καλλιππον, ᾧ μαλιστα [5] των φιλων και ξενων επιστευεν, [6] ουχ ὑπεμεινεν ελεγξαι, βελτιον ειναι φησας αποθανειν, η ζην, μη μονον τους πολεμιους, αλλα και τους φιλους φυλαττομενον.

ι. Αλεξανδρου.

Αλεξανδρος ετι παις ων, πολλα [7] του Φιλιππου κατορθουντος, ουκ εχαιρεν, αλλα προς τους συντρεφομενους ελεγε παιδας, Εμοι δε ὁ πατηρ ουδεν απολειψει· των δε παιδων λεγοντων ότι, Ταυτα σοι [8] κταται· Τι δ' οφελος, ειπεν, εαν εχω μεν πολλα, πραξω δε ουδεν; Ελαφρος δ' ων και ποδωκης, και παρακαλουμενος ὑπο του πατρος [9] Ολυμπια δραμειν σταδιον, Ειγε, εφη, βασιλεις εξειν εμελλον ανταγωνιστας. [10] Επιθυμιωντι δε τοις θεοις αφειδως αυτῳ, και πολλακις επιδραττομενῳ του λιβανωτου, παρων

Λεωνιδης

Λεωνιδης ὁ παιδαγωγος, Οὑτως, ειπεν, ὠ παι, δαψιλως επιθυμιασεις, όταν [1] της λιβανωτοφορου κρατησης. Ὡς ουν εκρατησεν, επεμψεν επιστολην πρὸς αυτον: Απεσταλκα σοι ταλαντα ἑκατον λιβανωτου και κασιας, ἱνα μηκετι μικρολογῃ προς τὺς θεὺς, [2] ειδὼς ὁτι και [3] της αρωματοφορου κρατουμεν. Μελλων δε την επι Γρανικῳ μαχην μαχεσθαι, παρεκαλει τους Μακεδονας αφθονως δειπνειν, και παντα φερειν εις μεσον, ὥς αυριον δειπνησοντας εκ των πολεμιων. Περιλλου δε τινος των φιλων αιτησαντος προικα τοις θυγατριοις, εκελευσε πεντηκοντα ταλαντα λαβειν· αυτου δε φησαντος ἱκανα ειναι δεκα, Σοι γε, εφη, λαβειν, εμοι δ' ουχ ἱκανα δουναι. Αναξαρχῳ δε τῳ φιλοσοφῳ δουναι τον διοικητην εκελευσεν, [4] ὁσον αν αιτησῃ· του δε διοικητου φησαντος, ὡς ἑκατον αιτειται ταλαντα, Καλως, εφη, ποιει, γινωσκων, ὁτι φιλον εχει και δυναμενον τηλικαυτα δωρεισθαι και βουλομενον. Εν δε τῃ Μιλητῳ πολλους ανδριαντας αθλητων θεασαμενος [5] Ολυμπια καί Πυθια νενικηκοτων, Και που τα τηλικαυτα ην σωματα, εφη, ὁτε οἱ βαρβαροι ὑμων την πολιν [6] επολιορκουν; Της δε των Καρων βασιλισσης Αδας οψα και πεμματα, παρεσκευασμενα περιττως δια δημιουργων και μαγειρων, φιλοτιμουμενης αει πεμπειν προς αυτον, εφη, κρειττονας εχειν αυτον οψοποιους· προς μεν αριστον, την νυκτοποριαν, προς δε δειπνον, την ολιγαριστιαν.

Επει

Επει δε, παρεσκευασμενων παντων προς μαχην, [1] ηρωτησαν οἱ στρατηγοι, Μη τι προς τουτοις ἑτερον· Ουδεν, ειπεν, ἡ ξυραν τα γενεια των Μακεδονων. Θαυμασαντος δε του Παρμενιωνος, [2] Ουκ οιδας, ειπεν, ὁτι βελτιων ουκ εστιν εν μαχῃ λαβη πωγωνος; Δαρειου [3] διδοντος αυτῳ μυρια ταλαντα και την Ασιαν νειμασθαι προς αυτον επισης, και Παρμενιωνος ειποντος, ελαβον αν, ει Αλεξανδρος ημην· [4] Καγω νη Δια, ειπεν, ει Παρμενιων ημην· απεκρινατο δε Δαρειῳ, μητε την γην ἡλιους δυο, μητε την Ασιαν δυο βασιλεις ὑπομενειν. Μελλοντι δ' αυτῳ περι [5] των ὁλων εν Αρβηλοις κινδυνευειν [6] προς ἑκατον μυριαδας αντιτεταγμενας προσιεσαν οἱ φιλοι, των στρατιωτων κατηγορουντες, ὡς εν ταις σκηναις διαλαλουντων και [7] συντιθεμενων, ὁπως μηδεν των λαφυρων εις [8] το βασιλικον ανοισουσιν, αλλ' αυτοι κερδανουσιν· ὁ δε μειδιασας, Αγαθα, φησιν, αγγελετε· νικαν γαρ ανδρων, ου φευγειν, παρεσκευασμενων ακουω διαλογισμους. Παρατασσομενου δε του στρατευματος, ιδων τινα των στρατιωτων το ακοντιον εναγκυλουμενον, [9] εξεωσε της φαλαγγος, ὡς αχρηστον, ὁς παρασκευαζεται δη νυν, ὁτε δει χρησθαι τοις ὁπλοις. Επιστολην δε παρα της μητρος αναγινωσκων, απορρητους λογους κατ' Αντιπατρου και διαβολας εχουσαν, ἁμα του Ἡφαιστιωνος, (ὡσπερ ειωθει,) συναναγινωσκοντος, ουκ εκωλυσεν· ὡς δε [10] ανεγνω, τον δακτυλιον

[1] αφε-

[1] αφελομενος τον ἑαυτου, τῳ στοματι τῳ εκεινου την σφραγιδα [2] επεθηκεν. [3] Εν δ' Αμμωνος ὑπο του προφητου παις Διος προσαγορευθεις, Ουδεν γε, εφη, θαυμαστον· παντων μεν γαρ ὁ Ζευς φυσει πατηρ εστιν, [4] ἑαυτου δε ποιειται τους αριστους. Τοξευματι δε [5] πληγεις εις το σκελος, ὡς πολλοι [6] συνεδραμον των πολλακις ειωθοτων αυτον Θεον προσαγορευειν, [7] διαχυθεις τῳ προσωπῳ, Τουτι μεν αἱμα, ειπεν, ὡς ὁρατε, και ουκ [8] ιχωρ, οἱος περ τε ρεει μακαρεσσι θεοισιν. Επαινουντων δ' ενιων του Αντιπατρου την ευτελειαν, ὡς αθρυπτως διαιτωμενου και αυστηρως, Εξωθεν, ειπεν, Αντιπατρος λευκοπαρυφος εστι, [9] τα δ' ενδον, ὁλοπορφυρος. Εν δε χειμωνι και ψυχει των φιλων τινος [10] ἑστιωντος αυτον, εσχαραν δε μικραν και πυρ ολιγον [11] εισενεγκαντος, η ξυλα [12] η λιβανωτον εισενεγκειν εκελευσε. Των δ' Ινδων τον αριστα τοξευειν δοκουντα, και λεγομενον δια δακτυλιου τον οϊστον αφιεναι, λαβων αιχμαλωτον εκελευσεν επιδειξασθαι, και μη βουλομενον οργισθεις [13] ανελειν προσεταξεν· επει δ' αγομενος ὁ ανθρωπος ελεγε προς τους αγοντας, [14] ὁτι πολλων ἡμερων ου μεμελετηκε, και εφοβηθη διαπεσειν, ακουσας ὁ Αλεξανδρος εθαυμασε, και απελυσε μετα δωρων αυτον, [15] ὁτι μαλλον αποθανειν ὑπεμεινεν, η της δοξης αναξιος φανηναι. Επει δε Ταξιλης, εἱς των Ινδων βασιλευς ων, απαντησας

[1] πρου-

[1]προεκαλειτο μη μαχεσθαι μηδε πολεμειν Αλεξανδρον, αλλ' ει μεν εστιν ἡττων, [2]ευ πασχειν, ει δε βελτιων, ευ ποιειν· απεκρινατο, περι αυτου τουτου [3]μαχητεον ειναι, ποτερος ευ ποιων περιγενηται. Περι δε της λεγομενης Αορνου πετρας εν Ινδοις ακουσας, ὅτι το μεν χωριον δυσαλωτον εστιν, ὁ δε εχων αυτο δειλος εστι· Νυν, εφη, το χωριον ευαλωτον εστιν. Επει δ' αλλος, εχων πετραν αληπτον δοκουσαν ειναι, [4]ενεχειρισεν ἑαυτον μετα της πετρας τω Αλεξανδρω, και της δυναμεως εκελευσεν αρχειν, και [5]προσεθηκε χωραν, ειπων ὅτι, Φρονειν μοι δοκει ὁ ανθρωπος, ανδρι μαλλον αγαθω πιστευσας ἑαυτον η οχυρω τοπω. Μετα δε την της πετρας αλωσιν των φιλων λεγοντων [6]ὑπερβεβληκεναι τον Ἡρακλεα ταις πραξεσιν· Αλλ' εγω, ειπε, τας εμας πραξεις μετα της ἡγεμονιας, ἑνος ου νομιζω ῥηματος ανταξιας ειναι του Ἡρακλεους. Των δε πρωτων φιλων και κρατιστων τιμαν μεν εδοκει Κρατερον μαλιστα παντων, φιλειν δε Ἡφαιστιωνα. Κρατερος μεν γαρ, εφη, φιλοβασιλευς εστι· Ἡφαιστιων δε, φιλαλεξανδρος. Ξενοκρατη δε τω φιλοσοφω πεντηκοντα ταλαντα πεμψας, ὡς ουκ [7]εδεξατο, μη δεισθαι φησας, ηρωτησεν ει μηδε φιλον εχει Ξενοκρατης. Εμοι μεν γαρ, εφη, μολις ὁ Δαρειου πλουτος εις [8]τους φιλους ηρκεσεν. Επει δε Πωρος, ερωτηθεις ὑπ' αυτου μετα

την

την μαχην, Πως σοι χρησομαι; Βασιλικως, ειπε· και προσερωτηθεις, μη τι αλλο, Παντα, ειπεν, εν τω Βασιλικως ενεστι· θαυμασας και την συνεσιν αυτου και την ανδραγαθιαν, [1] πλειονα χωραν, ἧς προτερον ειχε, προσεθηκε. [2] Πυθομενος δε ὑπο τινος λοιδορεισθαι, Βασιλικον, εφη, εστιν ευ ποιουντα κακως ακουειν. Αποθνησκων δε, προς τους ἑταιρους ιδων, εφη, Μεγαν ὁρω μου [3] τον επιταφιον εσομενον. Τελευτησαντος δ' αυτου, Δημαδης ὁ ῥητωρ, ὁμοιον, εφη, δια την αναρχιαν, ὁρασθαι το στρατοπεδον των Μακεδονων [4] εκτετυφλωμενῳ τῳ Κυκλωπι.

ια. Λυσιμαχου.

Λυσιμαχος, εν Θρακῃ κρατηθεις ὑπο Δρομαχετου, και δια διψαν ἑαυτον και το στρατευμα [5] παραδους, ὡς επιεν αιχμαλωτος γενομενος, Ω θεοι, ειπεν, ὡς μικρας ἡδονης ἑνεκα δουλον εμαυτον εκ βασιλεως πεποιηκα! Προς δε Φιλιππιδην, τον κωμῳδοποιον, φιλον οντα και συνηθη, Τινος σοι, ειπε, των εμων [6] μεταδω; κα'κεινος, Οὑ βουλει, πλην των απορρητων.

ιβ. Αντιοχου.

Αντιοχος, ὁ στρατευσας δευτερον επι Παρθους, εν τινι κυνηγεσιῳ και διωγμῳ [7] των φιλων και θεραποντων

ποντων αποπλανηθεις, εις επαυλιν πενητων ανθρωπων αγνοουμενος εισηλθε· και παρα το δειπνον [1] εμβαλων λογον περι του βασιλεως, ηκουσεν, ὁτι [2] τ᾽αλλα χρηστος εστιν, φιλοις δε μοχθηροις επιτρεπων [3] τα πλειστα παρορᾳ, και πολλακις αμελει των αναγκαιων [4] δια το λιαν φιλοθηρος ειναι. Τοτε μεν ουν εσιωπησεν· [5] ἁμα δε ἡμερᾳ, των δορυφορων παραγενομενων επι την επαυλιν, φανερος γενομενος, προσφερομενης της πορφυρας αυτῳ και του διαδηματος, Αλλα [6] αφ᾽ ἡς, ειπεν, ἡμερας ὑμας ανειληφα, πρωτον εχθες αληθινων λογων ηκουσα περι εμαυτου. Των δε Ιουδαιων, πολιορκουντος αυτου τα Ἱεροσολυμα, [7] προς την μεγιστην ἑορτην αιτησαμενων ἑπτα ἡμερων ανοχας, ου μονον εδωκε ταυτας, αλλα και ταυρους [8] χρυσοκερως παρασκευασαμενος, και θυμιαματων και αρωματων πληθος, αχρι των πυλων επομπευσε· και [9] παραδους τοις εκεινων ἱερευσι την θυσιαν, αυτος επανηλθεν εις το στρατοπεδον· οἱ δε Ιουδαιοι θαυμασαντες, ευθυς ἑαυτους μετα την ἑορτην [10] ενεχειρισαν.

VI.

VI.

E XENOPHONTE

DE CYRI INSTITUTIONE.

---

[1]ΕΚ ΤΟΥ

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ

ΒΙΒΛΙΟΥ Ε.

——[2] Ὁ δε Κυρος συνεκαλεσε παντας τους αρχοντας των συμμαχων· και ηδη πολλοι τε [3] εδοκουν και καλοι και αγαθοι παρειναι· εν ὁις δη ὁ Κυρος λεγει τοιάδε.

"Ανδρες συμμαχοι, Γαδατας διεπραξεν [4] ἁ εδοκει "πασιν ἡμιν πολλου αξια ειναι· και ταυτα, [5] πριν "και ὁτιουν αγαθον ὑφ' ἡμων παθειν. Νυν δε ὁ Ασσυ-"ριος εις την χωραν αυτȣ [6] εμβαλλειν αγγελλεται.— "Νυν ȣν, ω ανδρες, [7] καλον τι αν μοι δοκȣμεν ποιη-"σαι, ει προθυμως Γαδατᾳ βοηθησαιμεν, ανδρι ευερ-"γετῃ·

“ γετη· και ἁμα δικαια ποιοιμεν αν, χαριν αποδιδον-
“ τες· αλλα μην και συμφορον γ’ αν, ὡς εγω δοκω,
“ πραττοιμεν ἡμιν αυτοις. Ει γαρ πασι [1] φαινοιμεθα
“ τους μεν κακως ποιουντας νικαν πειρωμενοι κακως
“ ποιȣντες, τȣς δ’ ευεργετȣντας αγαθοις ὑπερβαλλομε-
“ νοι, εικος εκ των τοιȣτων φιλȣς μεν ἡμιν πολλȣς βȣ-
“ λεσθαι γιγνεσθαι, εχθρον δε μηδενα επιθυμειν ειναι·
“ ει δε αμελησαι δοξαιμεν [2] Γαδατα, προς των θεων,
“ ποιοις λογοις αλλους πειθοιμεν αν χαριζεσθαι τι
“ ἡμιν; πως δ’ αν τολμωμεν ἡμας αυτους επαινειν;
“ πως δ’ αν αντιβλεψαι τις ἡμων δυναιτο Γαδατα, ει
“ [3] ἡττωμεθα αυτου ευ ποιουντος, τοσοιδε οντες, ἑνος
“ ανδρος, και τȣτȣ οὑτω διακειμενȣ;” Ὁ μεν ȣν ȣ̔τως
ειπεν· οἱ δε παντες [4] συνεπῃνȣν ισχυρως ταυτα ποιειν.

Αγετε τοίνυν, εφη, επειπερ και ὑμιν [5] συνδοκει ταυ-
τα, επι μεν τοις ὑποζυγιοις και οχημασι καταλειπω-
μεν ἑκαστοι τȣς μετα τȣτων επιτηδειοτατȣς πορευεσθαι.
Γωβρυας δε ἡμιν [6] αρχετω αυτων, και ἡγεισθω αυτοις·
και γαρ ὁδων εμπειρος, και [7] τ’αλλα ἱκανος· ἡμεις δε,
εφη, συν ἱπποις τοις δυνατωτατοις και ανδρασι πορευ-
ωμεθα, τα επιτηδεια τριων ἡμερων λαβοντες· ὁσῳ δ’ αν
κȣφοτερον συσκευαζωμεθα και ευτελεστερον, τοσουτῳ
[8] τας επιȣσας ἡμερας ἡδιον αν αριστησομεν τε και δει-
πνησομεν και καθευδησομεν. Νυν δ’, εφη, πορευωμεθα

ὡδε·

ὡδε· Πρωτον μεν αγε συ, Χρυσαντα, τους θωρακοφορους, (επει ὁμαλη τε και πλατεια ἡ ὁδος εστι,) τυς ταξιαρχους εχων εν μετωπῳ παντας· ἡ δε ταξις ἑκαστη [1] εφ' ἑνος ιτω· αθροοι γαρ οντες, και [2] ταχιστα και ασφαλεστατα αν πορευοιμεθα. Τουτου δε ἑνεκα, εφη, τους θωρακοφορους κελευω ἡγεισθαι, ὁτι τουτο [3] βαρυτατον εστι του στρατευματος. Του δε βαρυτατου ἡγουμενου, αναγκη ῥᾳδιως ἑπεσθαι παντα τα [4] θαττον ιοντα· ὁταν δε [5] το ταχιστον ἡγηται εν νυκτι, ουδεν εστι θαυμαστον και διασπασθαι τα στρατευματα· [6] το γαρ προταχθεν αποδιδρασκει. Επι δε τουτοις, εφη, Αρταβαζος τους Περσων πελταστας και τοξοτας αγετω· επι δε τουτοις, Ανδραμιας ὁ Μηδος [7] το Μηδων πεζικον· επι δε τυτοις, Εμβας το Αρμενιων πεζικον· επι δε τουτοις, Αρτυχας Ὑρκανιυς· επι δε τυτοις, Θαμβραδας το Σακων πεζικον· επι δε τουτοις, Δαματαs Καδυσιυς. [8] Αγοντων δε και οὑτοι παντες, εν μετωπῳ μεν τυς ταξιαρχυς εχοντες, δεξιους δε τυς πελτασταs, αριστερυς δε τυς τοξοτας του ἑαυτων πλαισιου· οὑτω γαρ πορευομενοι, και ευχρηστοτεροι γιγνονται. Επι δε τυτοις, εφη, οἱ σκευοφοροι παντων [9] ἑπεσθωσαν· οἱ δε αρχοντες αυτων [10] επιμελεισθωσαν παντων, ὁπως αν συνεσκευασμενοι τε ωσι παντα πριν καθευδειν, και πρωϊ συν τοις σκευεσι παρωσιν εις την τεταγμενην χωραν, και ὁπως κοσμιως ἑπωνται. Επι δε

τοις

τοις σκευοφοροις, εφη, τους Περσας ἱππεας Μαδατας ὁ Περσης αγετω, εχων και οὗτος τους ἑκατονταρχους των ἱππεων εν μετωπῳ· ὁ δ' ἑκατονταρχος την ταξιν αγετω εις ἑνα, ὡσπερ οἱ πεζαρχοι. Επι δε τουτοις Ῥαμβακας ὁ Μηδος ὡσαυτως τους ἑαυτου ἱππεας· επι δε τουτοις συ, ω Τιγρανη,[1] το σεαυτου ἱππικον· και οἱ αλλοι δ' ἱππαρχοι,[2] μεθ' ὡν ἑκαστος αφικετο προς ἡμας· επι τουτοις, Σακαι, αγετε· εσχατοι δ' ὡσπερ ηλθον Καδουσιοι αγοντων στρατευμα· συ δε ὁ αγων αυτους επιμελου,[3] το νυν ειναι, παντων των οπισθεν, και μηδενα εα ὑστερον των σων ἱππεων γιγνεσθαι. Επιμελεισθε δε του σιωπῃ πορευεσθαι οἱ τε αρχοντες και παντες οἱ σωφρονουντες· δια γαρ των ωτων εν τη νυκτι αναγκη μαλλον, η δια των οφθαλμων, ἑκαστα και αισθανεσθαι και πραττεσθαι· και[4] το ταραχθηναι δ' εν νυκτι πολυ μειζον εστι πραγμα η εν τη ἡμερᾳ, και δυσκαταστατωτερον· οὑ ἑνεκα ἡ τε σιωπη[5] ασκητεα, και ἡ ταξις διαφυλακτεα. Τας δε νυκτερινας, εφη, φυλακας, ὁταν μελλητε νυκτος[6] εξαναστησεσθαι, αει χρη ὡς βραχυτατας και ὡς πλειστας ποιεισθαι, ὡς μηδενα ἡ εν τη φυλακῃ αγρυπνια, πολλη ουσα, λυμαινηται εν τη πορειᾳ· ἡνικα δ' αν ὡρα ᾐ πορευεσθαι, σημαινειν τῳ κερατι. Ὑμεις δε εχοντες[7] ἁ δει ἑκαστον, παρεστε εις την επι Βαβυλωνος ὁδον· [8] ὁ δε ὁρμωμενος, αει τῳ κατ' ουραν παρεγγυατω ἑπεσθαι.

[1] Ex

[1] Εκ τουτου δη ῳχοντο επι τας σκηνας, και ἁμα απιοντες διελεγοντο προς αλληλους, [2] ὡς μνημονικως ὁ Κυρος, ὁποσοις συνεταττε, πως ονομαζων ενετελλετο! Ὁ δε Κυρος επιμελειᾳ τουτο εποιει· πανυ γαρ αυτῳ θαυμαστον εδοκει ειναι, ει οἱ μεν βαναυσοι ισασι της ἑαυτου τεχνης ἑκαστος των εργαλειων τα ονοματα, και ιατρος δε οιδε και των οργανων και των φαρμακων, οἱς χρηται, παντων τα ονοματα· ὁ δε στρατηγος οὑτως ηλιθιος εσοιτο, ὡστε ουκ [3] εισεται των ὑφ' αὑτον ἡγεμονων τα ονοματα, οἱς αναγκη εσται αυτῳ οργανοις χρησθαι, και ὁταν προκαταλαβειν τι βουληται, και ὁταν φυλαξαι, και ὁταν θαρρυναι, και ὁταν φοβησαι. Και ὁταν τιμησαι δε ποτε τινα βουλοιτο, πρεπον αυτῳ εδοκει ειναι ονομαστι προσαγορευειν. Εδοκουν δε αυτῳ οἱ γιγνωσκεσθαι δοκουντες ὑπο του αρχοντος, και του καλον τι ποιουντες ὁρασθαι μαλλον [4] ορεγεσθαι, και [5] του αισχρον τι ποιειν μαλλον προθυμεισθαι απεχεσθαι. Ηλιθιον δε και τουτο αυτῳ εδοκει ειναι, [6] το, ὁποτε βουλοιτο τι πραχθηναι, οὑτω προσταττειν, ὡσπερ εν οικῳ ενιοι προσταττουσι δεσποται, Ιτω τις εφ' ὑδωρ, ξυλα τις σχισατω. Οὑτω γαρ προσταττομενων, εις αλληλους τε ὁραν ἁπαντες εδοκουν αυτῳ, και ουδεις περαινειν το προσταχθεν· και παντες εν αιτιᾳ ειναι, και ουδεις τῃ αιτιᾳ ουτε αισχυνεσθαι, ουτε φοβεισθαι, ὁμοιως δια το συν πολλοις αιτιαν εχειν· δια ταυτα δη αυτος

παντας

παντας ωνομαζεν, όποτε [1] προσταττοι. Και ὁ Κυρος μεν δε οὑτω περι τουτων εγιγνωσκεν.

Οἱ δε στρατιωται τοτε μεν δειπνησαντες, και φυλακας [2] καταστησαμενοι, και συσκευασαμενοι παντα, ἁ εδει, [3] εκοιμηθησαν. Ἡνικα δ' ην [4] εν μεσῳ νυκτων, εσημαινε τῳ κερατι. Κυρος δ', ειπων τῳ Χρυσαντᾳ, ότι επι τῃ ὁδῳ επιμενοι δη [5] εν τῳ προσθεν τε στρατευματος, [6] εξῃει λαβων τους αμφ' αὑτον ὑπηρετας· βραχει δε χρονῳ ὑστερον παρην Χρυσαντας αγων τους θωρακοφορους. Τουτῳ μεν ουν ὁ Κυρος δους ἡγεμονας της ὁδου, πορευεσθαι εκελευεν ἡσυχως, ἑως αγγελος ελθοι, [7] ότι εν ὁδῳ παντες ειησαν· αυτος δε [8] ἑστηκως εν τῳ αυτῳ τον μεν προσιοντα [9] προυπεμπετο εν ταξει, [10] επι δε τον ὑστεριζοντα επεμπε καλων. Επει δε παντες εν ὁδῳ ησαν, προς μεν Χρυσανταν ἱππεας επεμψεν, [11] ερουντας ότι, Εν ὁδῳ ηδη παντες· αγε δη ουν θασσον. Αυτος δε παρελαυνων τον ἱππον [12] εις το προσθεν, ἡσυχος κατεθεατο τας ταξεις· και οὑς μεν ιδοι ευτακτως και σιωπῃ ιοντας, [13] προσελαυνων αὐτοις, οἱτινες [14] ειεν ηρωτα, και επει [15] πυθοιτο, επῃνει· ει δε τινας θορυβουμενους [16] αισθοιτο, το αιτιον τουτου σκοπων, [17] κατασβεννυναι την ταραχην επειρατο.

VII.

CEBETIS

THEBANI TABULA.

[1]ΚΕΒΗΤΟΣ

ΘΗΒΑΙΟΥ

ΠΙΝΑΞ.

[2]Διαλογου προσωπα, Ξενος και Πρεσβυτης.

I. [3]ΕΤΥΓΧΑΝΟΜΕΝ περιπατουντες εν τω του Κρονου ἱερῳ, εν ῳ πολλα μεν και αλλα αναθηματα εθεωρουμεν· [4]ανεκειτο δε και πιναξ τις εμπροσθεν του νεω, εν ῳ ην γραφη τις [5]ξενη, και μυθους εχουσα ιδιους· οὑς ουκ ηδυναμεθα συμβαλειν, [6]τινες και ποτ' ησαν· ουτε γαρ πολις εδοκει ἡμιν ειναι [7]το γεγραμμενον, ουτε στρατοπεδον· αλλα περιβολος ην, εν ἁυτω εχων ἑτερους περιβολους δυο, τον μεν μειζω, τον δε ελαττω. Ην δε και πυλη επι του πρωτου περιβολου· προς δε τη πυλη οχλος [8]εδοκει ἡμιν πολυς εφεσταναι· και ενδον δε, εν τω περιβολῳ, πληθος τι γυναικων ἑωρατο· επι δε της εισοδου του πρωτου πυλωνος και περιβολου γερων τις ἑστως, [9]εμφασιν εποιει, ὡς προσταττων τι τω εισιοντι οχλῳ.

II.

II. Απορουντων ουν ἡμων περι της μυθολογιας προς αλληλους πολυν χρονον, Πρεσβυτης τις παρεστως, [1]Ουδεν δεινον πασχετε, ω Ξενοι, εφη, απορουντες περι της γραφης ταυτης· ουδε γαρ των επιχωριων πολλοι οιδασι, [2]τι ποτε αὑτη ἡ μυθολογια δυναιτο· ουδε γαρ εστι [3]πολιτικον το αναθημα, αλλα ξενος τις παλαι ποτε αφικετο δευρο, ανηρ εμφρων, και [4]δεινος περι σοφιαν, λογῳ τε και εργῳ Πυθαγορειον τινα και Παρμενιδειον εζηλωκως βιον, ὁς το τε ἱερον τουτο, και την γραφην ανεθηκε τῳ Κρονῳ. Ξ. Ποτερον ουν, εφην εγω, και αυτον τον ανδρα γιγνωσκεις ἑωρακως; Π. Και εθαυμασα γε, εφη, αυτον πολυν χρονον, νεωτερος ων· πολλα γαρ και σπουδαια διελεγετο· και περι ταυτης δε της μυθολογιας πολλακις αυτου ηκηκοειν διεξιοντος.

III. Ξ. Προς Διος τοινυν, εφην εγω, [5]ει μη τις σοι μεγαλη ασχολια τυγχανει ουσα, διηγησαι ἡμιν· πανυ γαρ επιθυμουμεν ακουσαι, τι ποτ' εστιν ὁ μυθος. Π. Ουδεις [6]φθονος, ω ξενοι, εφη· αλλα τουτι πρωτον δει ὑμας ακουσαι, ὁτι επικινδυνον τι εχει ἡ εξηγησις. Ξ. Οἱον τι; εφην εγω. Π. Ὁτι, ει μεν προσεξητε, εφη, και συνησητε τα λεγομενα, φρονιμοι και ευδαιμονες εσεσθε· ει δε μη, αφρονες, και κακοδαιμονες, και πικροι, και αμαθεις γενομενοι, κακως βιωσεσθε. Εστι γαρ ἡ εξηγησις εοικυια τῳ της [7]Σφιγγος αινιγματι, ὁ εκεινη προυβαλλετο τοις ανθρωποις.

θρωποις. Ει μεν ουν αυτο συνιη τις, εσωζετο· ει δε μη συνιη, απωλλυτο ὑπο της Σφιγγος. Ὡσαυτως δε και επι της εξηγησεως εχει ταυτης· ἡ γαρ Αφροσυνη τοις ανθρωποις Σφιγξ εστιν· [1] αινιττεται δε ταδε, τι αγαθον, τι κακον, τι ουτε αγαθον ουτε κακον εστιν εν τω βιω. Ταυτ' ουν εαν μεν τις μη συνιη, απολλυται ὑπ' αυτης· ουκ εισαπαξ, ωσπερ ὁ ὑπο της Σφιγγος καταβρωθεις απεθνησκεν· αλλα κατα μικρον εν ὁλω τω βιω καταφθειρεται, [2] καθαπερ τη τιμωρια παραδιδομενος· εαν δε τις γνω, αναπαλιν ἡ μεν Αφροσυνη απολλυται, αυτος δε σωζεται, και μακαριος και ευδαιμων γιγνεται εν παντι τω βιω. Ὑμεις ουν προσεχετε, και μη παρακουετε.

IV. Ξ. Ω Ἡρακλεις, ὡς εις μεγαλην τινα επιθυμιαν εμβεβληκας ἡμας, ει ταυθ' οὑτως εχει! Π. Αλλ' εστιν, εφη, οὑτως εχοντα. Ξ. [3] Ουκ αν φθανοις τοινυν διηγουμενος, ὡς ἡμων προσεξοντων ου παρεργως, επειπερ και το επιτιμιον τοιουτον εστιν. Π. Αναλαβων ουν ῥαβδον τινα, και εκτεινας προς την γραφην, Ὁρατε, εφη, τον περιβολον τουτον; Ξ. Ὁρωμεν. Π. Τουτο πρωτον δει ειδεναι ὑμας, ὁτι καλειται ὁ τοπος οὑτος, βιος· [4] και ὁ οχλος ὁ πολυς, ὁ παρα την πυλην εφεστως, οἱ μελλοντες εισπορευεσθαι εις τον βιον, οὑτοι εισιν. Ὁ δε γερων, ὁ ανω ἑστηκως, εχων χαρτην τινα εν τη χειρι, και τη ἑτερα ὡσπερ δεικνυων τι, οὑτος Δαιμων καλειται· προστατ-

τει

τει δε τοις εισπορευομενοις, τι δει αυτους ποιειν, ὡς αν εισελθωσιν εις τον βιον· και δεικνυει, ποιαν ὁδον αυτους δει βαδιζειν, ει σωζεσθαι [1]μελλουσιν εν τῳ βιῳ.

V. Ξ. Ποιαν ουν ὁδον κελευει βαδιζειν, η πως; εφην εγω. Π. Ὁρᾳς, ειπε, παρα την πυλην θρονον τινα κειμενον κατα τον τοπον τουτον, καθ' ὁν εισπορευεται ὁ οχλος, εφ' οὑ καθηται γυνη [2]πεπλασμενη τῳ ειδει, και πιθανη φαινομενη, και εν τῃ χειρι εχουσα ποτηριον τι; Ξ. Ὁρω· αλλα τις εστιν αὑτη; εφην εγω. Π. Απατη καλειται, φησιν, ἡ παντας τους ανθρωπους πλανωσα. Ξ. Ειτα τι πραττει αὑτη; Π. Τους εισπορευομενους εις τον βιον [3]ποτιζει τῃ ἑαυτης δυναμει. Ξ. Τουτο δε τι εστι το ποτον; Π. Πλανη, εφη, και αγνοια. Ξ. Ειτα τι; Π. Πιοντες τουτο, πορευονται εις τον βιον. Ξ. Ποτερον ουν παντες πινουσι τον πλανον, η ου;

VI. Π. Παντες πινουσιν, εφη· αλλ' οἱ μεν [4]πλειον, οἱ δε ἡττον. Ετι δε ουχ ὁρᾳς ενδον της πυλης πληθος τι γυναικων, ἑταιρων παντοδαπας μορφας εχουσων; Ξ. Ὁρω. Π. Αὑται τοινυν, Δοξαι, και Επιθυμιαι, και Ἡδοναι καλουνται. Ὁταν ουν εισπορευηται ὁ οχλος, [5]αναπηδωσιν αὑται, και περιπλεκονται προς ἑκαστον, ειτα απαγουσι. Ξ. Που δε απαγουσιν αυτους; Π. Αἱ μεν εις το σωζεσθαι, εφη· αἱ δε εις το απολλυσθαι δια την απατην. Ξ. Ὦ

δαιμ-

δαιμονιε, ὡς χαλεπον το πομα λεγεις. Π. Και πασαι γε, εφη, επαγγελλονται ὡς επι τα βελτιστα αξουσαι, και εις βιον ευδαιμονα και λυσιτελη. Ὁι δε δια την αγνοιαν και τον πλανον, ὁν πεπωκασι παρα τῆς Απατης, ουχ εὑρισκουσι ποια εστιν ἡ αληθινη ὁδος ἡ εν τῳ βιῳ· αλλα πλανωνται εικη, ὡσπερ ὁρᾳς και τους προτερον εισπορευομενους, ὡς περιαγοντας ὁπη αν τυχοι.

VII. Ξ. Ὁρω τουτους, εφην. Ἡ δε γυνη εκεινη τις εστιν, ἡ ὡσπερ τυφλη και μαινομενη τις ειναι δοκουσα, και ἑστηκυια επι λιθου τινος στρογγυλου; Π. Καλειται μεν, εφη, Τυχη· εστι δε ου μονον τυφλη και μαινομενη, αλλα και κωφη. Ξ. Αὑτη ουν τι εργον εχει; Π. Περιπορευεται πανταχου, εφη, και παρ' ὡν μεν ἁρπαζει τα ὑπαρχοντα, και ἑτεροις διδωσι· παρα δε των αυτων παλιν αφαιρειται παραχρημα ἁ εδωκε, και αλλοις διδωσιν εικη και αβεβαιως· διο και το σημειον καλως μηνυει την φυσιν αυτης. Ξ. Ποιον τουτο; εφην εγω. Π. Ὁτι επι στρογγυλου λιθου ἑστηκεν. Ξ. Ειτα τι τουτο σημαινει; Π. Ὁτι ουκ ασφαλης, ουδε βεβαια εστιν ἡ παρ' αυτης δοσις· εκπτωσεις γαρ μεγαλαι και σκληραι γιγνονται, ὁταν τις αυτῃ πιστευσῃ.

VIII. Ξ. Ὁ δε οχλος των ανθρωπων, ὁ πολυς οὑτος περι αυτην ἑστηκως, τι βουλεται; και τινες καλουνται; Π. Καλουνται μεν οὑτοι Απροβουλευ-

τοι· αιτουσι δε ἑκαστος αυτων ἁ [1] ριπτει. Ξ. Πως ουν ουχ ὁμοιαν εχουσι την μορφην, αλλ' οἱ μεν αυτων δοκουσι χαιρειν, οἱ δε αθυμουσιν, εκτετακοτες τας χειρας; Π. Οἱ μεν δοκουντες, εφη, χαιρειν και γελαν αυτων, οἱ ειληφοτες τι παρα της Τυχης εισιν· οὑτοι δε και Αγαθην Τυχην αυτην καλουσιν· οἱ δε δοκουντες κλαιειν, και τας χειρας εκτετακοτες, εισι παρ' ὡν αφειλετο ἁ εδωκε προτερον αυτοις· οὑτοι δε παλιν Κακην Τυχην αυτην καλουσι. Ξ. Τινα ουν εστιν ἁ διδωσιν αυτοις, ὁτι οὑτως οἱ μεν λαμβανοντες χαιρουσιν, οἱ δε αποβαλλοντες κλαιουσι; Π. Ταυτα, εφη, ἁ παρα τοις πολλοις ανθρωποις δοκει ειναι αγαθα. Ξ· Ταυτ' ουν τινα εστι; Π. Πλουτος δηλαδη, και δοξα, και ευγενεια, και τεκνα, και τυραννιδες, και βασιλειαι, και τα'λλα ὁσα τουτοις παραπλησια. Ξ. Ταυτ' ουν πως ουκ εστιν αγαθα; Π. Περι μεν τουτων, εφη, και αυθις διαλεξομεθα· νυν δε περι την μυθολογιαν γενωμεθα. Ξ. Εστω οὑτως.

IX. Π. Ὁρας ουν, ὡς αν παρελθῃς την πυλην ταυτην, ανωτερον αλλον περιβολον, και γυναικας εξω του περιβολου ἑστηκυιας, κεκοσμημενας ὡσπερ ἑταιραι ειωθασι; Ξ. Και μαλα. Π. Αὑται τοινυν, ἡ μεν Ακρασια καλειται, ἡ δε Ασωτια, ἡ δε Απληστια, ἡ δε Κολακεια. Ξ. Τι ουν ὡδε ἑστηκασιν αὑται; Π. Παρατηρουσιν, εφη, τους ειληφοτας τι

παρα

παρα της Τυχης. Ξ. Ειτα τι; Π. Αναπηδωσι, και συμπλεκονται αυτοις, και κολακευουσι, και αξιουσι παρ' αυταις μενειν, λεγουσαι, ὁτι βιον ἑξουσιν ἡδυν, και απονον, και κακοπαθειαν εχοντα ουδεμιαν. Εαν ουν τις πεισθη ὑπ' αυτων εισελθειν εἰς την ἡδυπαθειαν, μεχρι μεν [1] τινος ἡδεια δοκει ειναι ἡ διατριβη, ἑως αν γαργαλιζη τον ανθρωπον· ειτ' ουκ ετι· ὁταν γαρ ανανηψη, αισθανεται, ὁτι ουκ ησθιεν, αλλ' [2] ὑπ' αυτης κατησθιετο, και ὑβριζετο. Διο και, ὁταν αναλωση παντα, ὁσα ελαβε παρα της Τυχης, αναγκαζεται ταυταις ταις γυναιξι δουλευειν, και πανθ' ὑπομενειν, και ασχημονειν, και ποιειν ἑνεκεν τουτων ὁσα εστι βλαβερα· οἱον, αποστερειν, ἱεροσυλειν, επιορκειν, προδιδοναι, ληϊζεσθαι, και πανθ' ὁσα τουτοις παραπλησια. Ὁταν ουν παντα αυτοις επιλιπη, παραδιδονται τη Τιμωρια.

X. Ξ. Ποια δε εστιν αὑτη; Π. Ὁρας οπισω τι αυτων, εφη, ὡσπερ θυριον μικρον, και τοπον στενον τινα και σκοτεινον; [Ξ. Και μαλα. Π.] Ουκουν και γυναικες αισχραι, και ῥυπαραι, και [3] ῥακη ημφιεσμεναι δοκουσι συνειναι; Ξ. Και μαλα. Π. Αὑται, τοινυν, εφη, ἡ μεν, την μαστιγα εχουσα, καλειται Τιμωρια· ἡ δε, την κεφαλην εν τοις γονασιν εχουσα, Λυπη· ἡ δε, τας τριχας τιλλουσα ἑαυτης, Οδυνη. Ξ. Ὁ δ' αλλος οὑτος, ὁ παρεστηκως αυταις, δυσειδης τις, και λεπτος, και γυμνος· και μετ' αυ-

του

του τις ὁμοιά αυτῳ, αισχρα και λεπτη· τινες εισιν;
ΓΙ. Ὁ μεν, Οδυρμος καλειται, εφη· ἡ δε, αδελφη αυτου, Αθυμια. Τουτοις ουν παραδιδοται, και μετα τουτων συμβιοι τιμωρουμενος. Ειτα ενταυθα παλιν εις τον ἑτερον οικον ῥιπτεται, εις την Κακοδαιμονιαν, και ὡδε τον λοιπον βιον καταστρεφει εν παση [1] κακοπραγια, αν μη ἡ Μετανοια αυτῳ [2] απο της τυχης συναντηση.

XI. Ξ. Ειτα τι γιγνεται, εαν ἡ Μετανοια αυτῳ συναντηση; ΓΙ. Εξαιρει αυτον εκ των κακων, και συνιστησιν αυτῳ ἑτεραν Δοξαν και Επιθυμιαν, την εις την αληθινην Παιδειαν αγουσαν· ἁμα δε και την εις την Ψευδοπαιδειαν καλουμενην. Ξ. Ειτα τι γιγνεται; ΓΙ. Εαν μεν, φησι, την Δοξαν ταυτην προσδεξηται, την αξουσαν αυτον εις την αληθινην Παιδειαν, καθαρθεις ὑπ' αυτης, σωζεται, και μακαριος και ευδαιμων γιγνεται εν παντι τῳ βιῳ· ει δε μη, παλιν πλαναται ὑπο της Ψευδοδοξιας.

XII. Ξ. Ω Ἡρακλεις, ὡς μεγας ὁ κινδυνος αλλος οὗτος! Ἡ δε Ψευδοπαιδεια, ποια εστιν; εφην εγω. ΓΙ. Ουχ ὁρᾳς τον ἑτερον περιβολον εκεινον; Ξ. Και μαλα, εφην εγω. ΓΙ. Ουκουν εξω του περιβολου παρα την εισοδον γυνη τις [3] ἑστηκεν, ἡ δοκει πανυ καθαρα και ευτακτος ειναι; Ξ. Και μαλα. ΓΙ. Ταυτην τοινυν οἱ πολλοι και εικαιος των ανθρωπων Παιδειαν καλουσιν· ουκ εστι δε, αλλα Ψευδοπαιδεια, εφη·

εφη· οἱ μεν τοι σωζομενοι, ὁποταν βουλωνται εις την αληθινην Παιδειαν ελθειν, ὡδε πρωτον παραγιγνονται. Ξ. Ποτερον ουν αλλη ὁδος ουκ εστιν, επι την αληθινην Παιδειαν αγουσα; Π. Εστιν, εφη.

XIII. Ξ. Οὗτοι δε οἱ ανθρωποι, οἱ εσω του περιβολου ανακαμπτοντες, τινες εισιν; Π. Οἱ της Ψευδοπαιδειας, εφη, ερασται, ηπατημενοι, οιομενοι μετα της αληθινης Παιδειας συνομιλειν. Ξ. Τινες ουν καλουνται οὗτοι; Π. Οἱ μεν, Ποιηται, εφη· οἱ δε, Ῥητορες· οἱ δε, Διαλεκτικοι· οἱ δε Μουσικοι· οἱ δε, Αριθμητικοι· οἱ δε, Γεωμετραι· οἱ δε, Αστρολογοι· οἱ δε, Ἡδονικοι· οἱ δε, Περιπατητικοι· οἱ δε, Κριτικοι· και ὁσοι αλλοι τουτοις εισι παραπλησιοι.

XIV. Ξ. Αἱ δε γυναικες εκειναι, αἱ δοκουσαι περιτρεχειν, ὁμοιαι ταις πρωταις, εν ἁις εφης ειναι την Ακρασιαν, και αἱ αλλαι αἱ μετ' αυτων, τινες εισιν; Π. Αυται εκειναι εισιν, εφη. Ξ. Ποτερον ουν και ὡδε εισπορευονται; Π. Νη Δια, και ὡδε· σπανιως δε, και ουχι ὡσπερ εν τῳ πρωτῳ περιβολῳ. Ξ. Ποτερον ουν και αἱ [1] Δοξαι; Π. Ναι, εφη· [2] μενει γαρ και εν τουτοις το πομα, ὁ επιον παρα της Απατης, και ἡ αγνοια μενει και εν τουτοις, νη Δια, και μετ' αυτης γε ἡ αφροσυνη· και ου μη απελθῃ απ' αυτων ουθ' ἡ δοξα, ουθ' ἡ λοιπη κακια, μεχρις αν,

[1] απο-

μεταγνοντες της Ψευδοπαιδειας, εισελθωσιν εις την αληθινην ὁδον, και πιωσι [2]τας τουτων καθαρτικας δυναμεις. Ειτα, ὁταν καθαρθωσι, και εκβαλωσι τα κακα παντ' ὁσ' αν εχωσι, και τας δοξας, και την αγνοιαν, και την λοιπην κακιαν πασαν, τοτε αν οὑτως σωθησονται· ὡδε δε μενοντες παρα τη Ψευδοπαιδεια, ουδεποτε απολυθησονται, ουδε ελλειψει αυτους κακον ουδεν ἑνεκα τουτων των μαθηματων.

XV. Ξ. Ποια ουν εστιν αὑτη ἡ ὁδος, ἡ φερουσα επι την αληθινην Παιδειαν; εφην. Π. Ὁρας ανω, εφη, τοπον τινα εκεινον, ὁπου ουδεις ενοικειν, αλλ' ερημος δοκει ειναι; Ξ. Ὁρω. Π. Ουκουν και θυραν τινα μικραν, και ὁδον τινα προ της θυρας, ἡτις ου πολυ οχλειται, αλλ' ολιγοι πανυ πορευονται, ὡσπερ ανοδιας τινος και τραχειας και πετρωδους ειναι δοκουσης; Ξ. Και μαλα, εφην. Π. Ουκουν και βουνος τις ὑψηλος δοκει ειναι, και [3]αναβασις στενη πανυ, και κρημνους εχουσα ενθεν και ενθεν βαθεις; Ξ. Ὁρω. Π. Αὑτη τοινυν εστιν ἡ ὁδος, εφη, ἡ αγουσα προς την αληθινην Παιδειαν. Ξ. Και μαλα γε [4]χαλεπη προσιδειν. Π. Ουκουν και ανω επι του βουνου ὁρας πετραν τινα μεγαλην, και ὑψηλην, και [5]κυκλω αποκρημνον; Ξ. Ὁρω, εφην.

XVI. Π. Ὁρας ουν και γυναικας δυο ἑστηκυιας επι τη πετρα, λιπαρας, και ευεκτουσας τω σωματι, και ὡς εκτετακασι τας χειρας προθυμως; Ξ. Ὁρω· αλλα

αλλα τινες καλουνται, εφην, αὑται; Π. Ἡ μεν, Εγκρατεια καλειται, εφη· ἡ δε, Καρτερια· εισι δε αδελφαι. Ξ. Τι ουν τας χειρας εκτετακασιν οὑτω προθυμως; Π. Παρακαλουσιν, εφη, τους παραγινομενους επι τον τοπον θαρρειν, και μη αποδειλιαν, λεγουσαι, ὁτι βραχυ ετι δει καρτερησαι αυτους, ειτα ἡξουσιν εις ὁδον καλην. Ξ. Ὁταν ουν παραγενωνται προς την πετραν, πως αναβαινουσιν; ὁρω γαρ ὁδον φερουσαν ουδεμιαν επ' αυτας. Π. Αὑται απο του κρημνου προσκαταβαινουσι, και ἑλκουσιν αυτους ανω προς αὑτας· ειτα κελευουσιν αυτους διαναπαυσασθαι· και μετα [1] μικρον διδοασιν ισχυν και θαρσος, και επαγγελλονται αυτους καταστησειν προς την αληθινην Παιδειαν· και δεικνυουσιν αυτοις την ὁδον, ὡς εστι καλη τε και ὁμαλη, και ευπορευτος, και καθαρα παντος κακου, ὡσπερ ὁρᾳς. Ξ. Εμφαινει, νη Δια.

XVII. Π. Ὁρᾳς ουν, εφη, εμπροσθεν του αλσους εκεινου και τοπον τινα, ὁς δοκει καλος τε ειναι, και λειμωνοειδης, και φωτι πολλῳ καταλαμπομενος; Ξ. Και μαλα. Π. Κατανοεις ουν και εν μεσῳ τῳ λειμωνι περιβολον ἑτερον, και πυλην ἑτεραν; Ξ. Εστιν οὑτως. Αλλα τις καλειται ὁ τοπος οὑτος; Π. Ευδαιμονων οικητηριον, εφη· ὡδε γαρ διατριβουσιν αἱ Αρεται πασαι, και ἡ Ευδαιμονια. Ξ. Ειεν, εφην εγω, ὡς καλον λεγεις τον τοπον ειναι.

XVIII.

XVIII. Π. Ουκουν παρα την πυλην ὁρας, εφη, ὁτι γυνη τις εστι καλη, και [1] καθεστηκυια το προσωπον, [2] μεση δε και κεκριμενη ηδη τη ἡλικια, στολην δ' εχουσα ἁπλην τε και [3] ακαλλωπισμον; ἑστηκε δε ουκ επι στρογγυλου λιθου, αλλ' επι τετραγωνου ασφαλως κειμενου· και μετ' αυτης αλλαι δυο τινες, θυγατερες τινες δοκουσαι ειναι. Ξ. [4] Εμφαινεται ουτως εχειν. Π. Τουτων τοινυν ἡ μεν εν τω μεσω Παιδεια εστιν· ἡ δε, Αληθεια· ἡ δε, Πειθω. Ξ. Τι δε ἑστηκεν επι λιθου τετραγωνου αὑτη; Π. Σημειον, εφη, ὁτι ασφαλης τε και βεβαια ἡ προς αυτην ὁδος εστι τοις αφικνουμενοις, και [5] των διδομενων ασφαλης ἡ δοσις τοις λαμβανουσι. Ξ. Και τινα εστιν, ἁ διδωσιν αὑτη; Π. Θαρσος, και αφοβιαν, εφη εκεινος. Ξ. Ταυτα δε τινα εστι; Π. [6] Επιστημη, εφη, του μηδεν αν ποτε δεινον παθειν εν τω βιω.

XIX. Ξ. Ω Ἡρακλεις, ὡς καλα, εφην, τα δωρα! Αλλα τινος ἑνεκεν ουτως εξω του περιβολου ἑστηκεν; Π. Ὁπως τους παραγενομενους, εφη, θεραπευη και [7] ποτιζη την καθαρτικην δυναμιν. ειθ', ὁταν καθαρθωσιν, ουτως αυτους εισαγει προς τας Αρετας. Ξ. Πως τουτο, εφην εγω; ου γαρ συνιημι. Π. Αλλα συνησεις, εφη. Ὡς αν, ει τις [8] φιλασθενως καμνων ετυγχανε, προς ιατρον δηπου γινομενος, προτερον καθαρτικοις παντα [9] εξεβαλε τα νοσοποιουντα· ειτα ουτως αν αυτον ὁ ιατρος εις [10] αναληψιν,

αλιφλιν και ὑγιειαν καθεστησεν· ει δε μη επειθετο, οις επεταττεν, ευλογως αν δηπου απωσθεις εξωλετο ὑπο την νοσου. Ξ. Ταυτα μεν συνιημι, εφην εγω. Π. [1] Τον αυτον τοινυν τροπον, εφη, και προς την Παιδειαν ὁταν τις παραγιγνηται, θεραπευει αυτον, και ποτιζει τῃ ἑαυτης δυναμει, ὁπως εκκαθαρῃ πρωτον και εκβαλῃ τα κακα παντα, ὁσα εχων ηλθε. Ξ. Ποια ταυτα; Π. Την αγνοιαν και τον πλανον, [2] ἁ παρα της Απατης επεπωκει, και την αλαζονειαν, και την επιθυμιαν, και την ακρασιαν, και τον θυμον, και την φιλαργυριαν, και τα λοιπα παντα, ὡν ανεπλησθη εν τῳ πρωτῳ περιβολῳ.

XX. Ξ. Όταν ουν καθαρθῃ, που αυτον αποστελλει; Π. Ενδον, εφη, προς την Επιστημην, και προς τας αλλας Αρετας. Ξ. Ποίας ταυτας; Π. Ουχ ὁρας, εφη, εσω της πυλης χορον γυναικων· ὡς ευειδεις δοκουσιν ειναι, και ευτακτοι, και στολην ατρυφερον και ἁπλην εχουσιν· ετι τε ὡς απλαστοι εισι, και ουδαμως κεκαλλωπισμεναι καθαπερ αἱ αλλαι; Ξ. Όρω, εφην· αλλα τινες αὑται καλουνται; Π. Ἡ μεν πρωτη, Επιστημη, εφη, καλειται· αἱ δε αλλαι, ταυτης αδελφαι, Ανδρεια, Δικαιοσυνη, Καλοκαγαθια, Σωφροσυνη, Ευταξια, Ελευθερια, Εγκρατεια, Πραοτης. Ξ. Ω καλλιστε, εφην εγωγε! ὡς εν μεγαλῃ ελπιδι εσμεν! Π. Εαν συνητε, εφη, και [3] ἑξιν περιποιησησθε ὡν ακουετε. Ξ. Αλλα προσεξομεν ὡς μαλιστα, εφην εγωγε. Π. Τοιγαρουν, εφη, σωθησεσθε.

XXI.

XXI. Ξ. Ὁταν ουν παραλαβωσιν αυτον αὑται, που απαγουσι; Π. Προς την μητερα, εφη. Ξ. Αὑτη δε τις εστιν; Π. Ευδαιμονια, εφη. Ξ. Ποια δ' εστιν αὑτη; Π. Ὁρᾳς την ὁδον εκεινην, την φερουσαν επι το [1] ὑψηλον εκεινο, ὁ εστιν ακροπολις των περιβολων παντων; Ξ. Ὁρω. Π. Ουκουν επι του προπυλαιου γυνη καθεστηκυια ευειδης τις καθηται επι θρονου ὑψηλου, κεκοσμημενη ελευθεριως και απεριεργως, και εστεφανωμενη στεφανῳ ευανθει πανυ και ποικιλῳ; Ξ. Εμφαινει οὑτως. Π. Αὑτη τοινυν εστιν ἡ Ευδαιμονια, εφη.

XXII. Ξ. Ὁταν ουν ὡδε τις παραγενηται, τι ποιει; Π. Στεφανοι αυτον, εφη, τῃ ἑαυτης δυναμει ἡ τε Ευδαιμονια και αἱ αλλαι Αρεται πασαι, ὡσπερ νενικηκοτα τους μεγιστους αγωνας. Ξ. Και ποιους αγωνας νενικηκεν αυτος; εφην εγω. Π. Τους μεγιστους, εφη, και τα μεγιστα θηρια, ἁ προτερον αυτον κατησθιε, και εκολαζε, και εποιει δουλον· ταυτα παντα νενικηκε, και απερριψεν αφ' ἑαυτου, και κεκρατηκεν ἑαυτου, ὡστε εκεινα νυν τουτῳ δουλευουσι, καθαπερ οὗτος εκεινοις προτερον.

XXIII. Ξ. Ποια ταυτα λεγεις θηρια; πανυ γαρ επιποθω ακουσαι. Π. Πρωτον μεν, εφη, την αγνοιαν, και τον πλανον· η ου δοκει σοι θηρια ταυτα ειναι; Ξ. Και πονηρα γε, εφην εγω. Π. Ειτα την λυπην, και τον οδυρμον, και την ὑπερηφανειαν,

και

και την φιλαργυριαν, και την ακρασιαν, και την λοιπην ἁπασαν κακιαν· παντων τουτων κρατει, και ȣ κρατειται, ὥσπερ το προτερον. Ξ. Ω καλων, εργων εφην εγω; ϗ καλλιστης νικης! Αλλ' εκεινο ετι μοι ειπε τις ἡ δυναμις του στεφανου, ᾧ εφης στεφανουσθαι αυτον; Π. Ευδαιμονικη, ω νεανισκε· ὁ γαρ στεφανωθεις ταυτῃ τῃ δυναμει, ευδαιμων γιγνεται και μακαριος, και εχει ουκ εν ἑτεροις τας ελπιδας της ευδαιμονιας, αλλ' εν αυτῳ.

XXIV. Ξ. Ὡς καλον το νικημα λεγεις! Ὅταν δε στεφανωθῃ, τι ποιει, ἢ ποι βαδιζει; Π. Αγουσιν αυτον ὑπολαβουσαι αἱ Αρεται προς τον τοπον εκεινον, ὅθεν ηλθε πρωτον, και δεικνυουσιν αυτῳ τους εκει διατριβοντας, ὡς κακως και αθλιως ζωσι, και ὡς ναυαγουσιν εν τῳ βιῳ, και πλανωνται, και αγονται κατακεκρατημενοι, ὥσπερ ὑπο πολεμιων· οἱ μεν ὑπ' ακρασιας, οἱ δε ὑπ' αλαζονειας, οἱ δε ὑπο φιλαργυριας, ἑτεροι δε ὑπο κενοδοξιας, ἑτεροι δε ὑφ' ἑτερων κακων· εξ ὧν ου δυνανται εκλυσαι ἑαυτους των δεινων, οἷς δεδενται, ὥστε σωθηναι, και αφικεσθαι ὧδε· αλλα ταραττονται δια παντος του βιου. Τουτο δε πασχουσι δια το μη δυνασθαι την ενθαδε ὁδον εὑρειν· επιλαθοντο γαρ το παρα του Δαιμονιου προσταγμα.

XXV. Ξ. Ορθως μοι δοκεις λεγειν· αλλα και τουτο παλιν απορω, δια τι δεικνυουσιν αυτῳ τον τοπον εκεινον αἱ Αρεται, ὅθεν ἡκει το προτερον; Π.

Ουκ

Ουκ ακριϐως ηδει, ουδε ηπιστατο, εφη, ουδεν των εκει· αλλ ενεδοιαζε, και δια την αγνοιαν, και τον πλανον, ὁν δη επεπωκει, τα μη οντα αγαθα ενομιζεν αγαθα ἑιναι, ϗ τα μη οντα κακα, κακα. Διο και εζη κακως, ὡσπερ οἱ αλλοι οἱ εκει διατριϐοντες· νυν δε ανειληφως την επιστημην των συμφεροντων, αυτος τε καλως ζη, και τουτους θεωρει [1] ὡς κακως πραττουσιν.

XXVI. Ξ. Επειδαν ουν θεωρηση παντα, τι ποιει, η που ἑτι βαδιζει; ΓΙ. Ὁποι αν βουληται, εφη· πανταχου γαρ εστιν αυτῳ ασφαλεια, ὡσπερ τῳ το [2] Κωρυκιον αντρον εχοντι· και πανταχου, οὑ αν αφικηται, παντα καλως βιωσεται μετα πασης ασφαλειας· ὑποδεξονται γαρ αυτον ασμενως παντες, καθαπερ τον ιατρον οἱ πασχοντες. Ξ. Ποτερον ουν κα'κεινας τας γυναικας, ἁς εφης θηρια ειναι, ουκ ετι φοϐειται, μη τι παθῃ ὑπ' αυτων; ΓΙ. Νη Δια, ουδεν· ου μη διοχληθησεται, ουτε ὑπ' οδυνης, ουτε ὑπο λυπης, ουτε ὑπ' ακρασιας, ουτε ὑπο φιλαργυριας, ουτε ὑπο πενιας, ουτε ὑπ' αλλου κακου ουδενος· ἁπαντων γαρ κυριευει, και επανω παντων εστι των προτερον αυτον λυπουντων, καθαπερ οἱ [3] εχιοδηκτοι· τα γαρ θηρια δηπου, τα παντας τους αλλους κακοποιουντα μεχρι θανατου, εκεινους ου λυπει, δια το εχειν αντιφαρμακον αυτους· οὑτω και τουτον ουκετι ουθεν λυπει, δια το εχειν το αντιφαρμακον.

XXVII.

— ouden

XXVII. Ξ. Καλως εμοι δοκεις λεγειν. Αλλ' ετι τουτο μοι ειπε, τινες εισιν ούτοι, οἱ δοκουντες εκειθεν απο του βουνου παραγιγνεσθαι; και οἱ μεν αυτων, εστεφανωμενοι, εμφασιν ποιουσιν ευφροσυνης τινος· οἱ δε, αστεφανωτοι, [1] λυπης και ταραχης [μεστοι,] και τας κνημας και τας κεφαλας δοκουσι τετριφθαι, κατεχονται δε ὑπο γυναικων τινων. Π. Οἱ μεν εστεφανωμενοι, [2] οἱ σεσωσμενοι εισι προς την Παιδειαν, και ευφραινονται, τετυχηκοτες αυτης· οἱ δε αστεφανωτοι, οἱ μεν, απεγνωσμενοι ὑπο της Παιδειας, ανακαμπτουσι κακως και αθλιως διακειμενοι· οἱ δε, αποδεδειλιακοτες, και αναβεβηκοτες προς την Καρτεριαν, παλιν ανακαμπτουσι, και πλανωνται ανοδια. Ξ. Αἱ δε γυναικες, αἱ μετ' αυτων ακολουθουσαι, τινες εισιν αὑται; Π. Λυπαι, εφη, και Οδυναι, και Αθυμιαι, και Αδοξιαι, και Αγνοιαι.

XXVIII. Ξ. Παντα κακα λεγεις αυτοις ακολουθειν; Π. Νη Δια, παντα, εφη, και επακολουθουσιν, Οὑτοι δε, ὁταν παραγενωνται εις τον πρωτον περιβολον προς την Ἡδυπαθειαν και την Ακρασιαν, ουχ ἑαυτους αιτιωνται, αλλ' ευθυς κακως λεγουσι και την Παιδειαν, και τους εκεισε βαδιζοντας, ὡς ταλαιπωροι και αθλιοι εισι και κακοδαιμονες, οἱ τον βιον τον παρ' αυτοις καταλιποντες κακως ζωσι, και ουκ απολαυουσι των παρ' αυτοις αγαθων. Ξ. Ποια δε λεγουσιν αγαθα ειναι; Π. Την ασωτιαν, και

την

την ακρασιαν, ὡς ειποι αν τις [1] επι κεφαλαιου· το γαρ ευωχεισθαι βοσκηματων τροπῳ, και απολαυειν, μεγιστα αγαθα ἡγουνται ειναι.

XXIX. Ξ. Αἱ δε εκειθεν παραγινομεναι ἑτεραι γυναικες, ἱλαραι τε και γελωσαι, τινες καλουνται; Π. Δοξαι, εφη· και αγαγουσαι προς την Παιδειαν τους εισελθοντας προς τας Αρετας, αναχαμπτουσιν ὁπως ἑτερους αγαγωσι, και αναγγειλωσιν, ὁτι ευδαιμονες ηδη γεγονασιν, οὑς τοτε απηγαγον. Ξ. Ποτερον, ουν, εφην εγω, αὑται εισω προς τας Αρετας εισπορευονται; Π. Εφη, Ου· ου γαρ θεμις Δοξαν εισπορευεσθαι προς την Επιστημην, αλλα τη Παιδειᾳ παραδιδοασιν αυτους· ειτα, ὁταν ἡ Παιδεια παραλαβῃ, αναχαμπτουσιν αὑται παλιν, αλλους αξουσαι· ὡσπερ αἱ νηες, τα φορτια εξελομεναι, παλιν αναχαμπτουσιν, και αλλων τινων γεμιζονται.

XXX. Ξ. Ταυτα μεν δη καλως μοι δοκεις, εφην, εξηγησθαι. Αλλ' εκεινο ουδεπω ἡμιν δεδηλωκας, τι προστατει το Δαιμονιον τοις εισπορευομενοις εις τον βιον ποιειν. Π. Θαρῤῥειν, εφη· διο και ὑμεις θαρῤῥειτε· παντα γαρ ὑμιν εξηγησομαι, και ουδεν αποκρυψω. Ξ. Καλως λεγεις, εφην εγω. Π. Εκτεινας ουν την χειρα παλιν, Ὁρατε, εφη, την γυναικα εκεινην, ἡ δοκει τυφλη τις ειναι, και επι λιθου στρογγυλου ἑσταναι, ἡν και αρτι ὑμιν ειπον ὁτι Τυχη καλειται; Ξ. Ὁρωμεν.

XXXI.

XXXI. II. [1]Ταυτῃ κελευει, εφη, μη πιστευειν, και βεβαιον μηδεν πιστευειν, μηδε ασφαλες εχειν, ὁ, τι αν παρ' αυτης λαβῃ τις, μηδε ὡς ιδια ἡγεισθαι· ουδεν γαρ κωλυει, ταυτα παλιν αφελεσθαι, και ἑτερῳ διδοναι· πολλακις γαρ τουτο ειωθε ποιειν. [2]Και δια ταυτην ουν την αιτιαν κελευει προς τας παρ' αυτης δοσεις αηττητους γιγνεσθαι· και μητε χαιρειν ὁταν διδῳ, μητε αθυμειν ὁταν αφεληται, και μητε ψεγειν αυτην, μητε επαινειν· ουδεν γαρ ποιει μετα λογισμου, αλλ', [3]εικῃ και ὡς ετυχε, παντα, ὡσπερ προτερον ὑμιν ελεξα. Δια τουτο ουν το Δαιμονιον κελευει μη θαυμαζειν, ὁ τι αν πραττοι αὑτη, μηδε γιγνεσθαι ὁμοιους τοις κακοις τραπεζιταις. Και γαρ εκεινοι, ὁταν μεν λαβωσι το αργυριον παρα των ανθρωπων, χαιρουσι, και ιδιον νομιζουσιν ειναι· ὁταν δε [4]απαιτωνται, αγανακτουσι, και [5]δεινα οιονται πεπονθεναι· ου μνημονευοντες, ὁτι επι τουτῳ ελαβον τα θεματα, εφ' ᾡ ουδεν κωλυει τον θεμενον παλιν κομισασθαι. Ὡσαυτως τοινυν κελευει [6]εχειν το Δαιμονιον και προς την παρ' αυτης δοσιν· και μνημονευειν, ὁτι τοιαυτην εχει φυσιν ἡ Τυχη, ὡστε, ἁ δεδωκεν, αφελεσθαι, και ταχεως παλιν δουναι πολλαπλασια, αυθις δε αφελεσθαι ἁ δεδωκεν· ου μονον δε, αλλα και τα προϋπαρχοντα. Ἁ γουν διδῳ κελευει λαμβανειν παρ' αυτης, και συντομως απελθειν εχοντας προς την βεβαιαν και ασφαλη δοσιν.

XXXII.

XXXII. Ξ. Ποιαν ταυτην; εφην εγω. Π. Ἣν ληψονται παρα της Παιδειας, [1]ην διασωθωσιν εκει. Ξ. Αὑτη ουν τις εστιν; Π. Ἡ αληθης επιστημη, εφη, των συμφεροντων, και ασφαλης δοσις, και βεβαια, και αμεταβλητος. Φευγειν ουν κελευει συντομως προς ταυτην· και ὁταν ελθωσι προς τας γυναικας εκεινας, ἁς και προτερον ειπον ὁτι Ακρασια και Ἡδυπαθεια καλουνται, και εντευθεν κελευει συντομως απαλλαττεσθαι, και [2]μη πιστευειν μηδε ταυταις μηδεν, ἑως αν προς την Ψευδοπαιδειαν αφικωνται. Κελευει ουν αυτοις χρονον τινα ενδιατριψαι, και λαβειν ὁ, τι αν βουλωνται παρ' αυτης, ὡσπερ εφοδιον· ειτα εντευθεν απιεναι προς την αληθινην Παιδειαν συντομως. Ταυτ' εστιν, ἁ προστασσει το Δαιμονιον. Ὁστις τοινυν παρ' αυτα τι ποιει, η παρακουει, απολλυται κακος κακως.

XXXIII. Ὁ μεν δη μυθος, ω Ξενοι, ὁ εν τῳ πινακι, τοιουτος ἡμιν εστιν. Ει δε δει τι προσπυθεσθαι περι ἑκαστου τουτων, ουδεις [3]φθονος· εγω γαρ ὑμιν φρασω. Ξ. Καλως λεγεις, εφην εγω. Αλλα τι κελευει αυτους το Δαιμονιον λαβειν παρα της Ψευδοπαιδειας; Π. Ταυθ' ἁ δοκει ευχρηστα ειναι. Ξ. Ταυτ' ουν τινα εστι; Π. Γραμματα, εφη, [4]και των αλλων μαθηματων, ἁ και Πλατων φησιν ὡσανει χαλινου τινος δυναμιν εχειν τοις νεοις, ἱνα μη εις ἑτερα περισπωνται. Ξ. Ποτερον δε αναγκη ταυτα

λαβειν

λαβειν, ει μελλει τις ἡξειν προς την αληθινην Παιδειαν, η ου; Π. Αναγκη μεν ουδεμια, εφη· χρησιμα μεν τοι εστι· προς δε το βελτιους γενεσθαι ουδεν συμβαλλεται ταυτα. Ξ. Ουδεν αρα λεγεις ταυτα χρησιμα ειναι προς το βελτιους γενεσθαι ανδρας; Π. Ουδεν· εστι γαρ και ανευ τουτων βελτιους γενεσθαι· ὁμως δε ουκ αχρηστα κα'κεινα εστιν. [1]Ὡς γαρ δι ἑρμηνεως συμβαλλομεν τα λεγομενα ποτε, ὁμως μεν τοι γε ουκ αχρηστον ην, [2]ἡμας και αυτους την φωνην ακριβεστεραν εχειν, αν τι συνηκαμεν· [3]οὑτω και ανευ τουτων των μαθηματων ουδεν κωλυσει γενεσθαι.

XXXIV. Ξ. Ποτερον ουδεν προεχουσιν οὑτοι οἱ μαθηματικοι, προς το βελτιους γενεσθαι των αλλων ανθρωπων; Π. Πως μελλουσι προεχειν, επειδαν φαινωνται ηπατημενοι περι αγαθων και κακων, ὡσπερ και οἱ αλλοι, και ετι κατεχομενοι ὑπο πασης κακιας; Ουδεν γαρ κωλυει, ειδεναι μεν γραμματα, και κατεχειν τα μαθηματα παντα, ὁμοιως δε μεθυσον και ακρατη ειναι, και φιλαργυρον, και αδικον, και προδοτην, και [4]το περας αφρονα. Ξ. Αμελει πολλους τοιουτους εστιν ιδειν. Π. Πως ουν οὑτοι προεχουσιν, εφη, εις το βελτιους ανδρας γενεσθαι, ἑνεκα τουτων των μαθηματων;

XXXV. Ξ. Ουδαμως φαινεται, εκ τουτου του λογου. Αλλα τι εστιν, εφην εγω, το αιτιον, ὁτι εν

τῳ

τῳ δευτερῳ περιβολῳ διατριβουσιν, ὡσπερ εγγιζοντες προς την αληθινην Παιδειαν; Π. Και τι τουτο ωφελει αυτους; εφη· ὁταν πολλακις εστιν ιδειν παραγιγνομενους εκ του πρωτου περιβολου απο της Ακρασιας, και της αλλης Κακιας, εις τον τριτον περιβολον, προς την Παιδειαν την αληθινην, οἱ τουτους τους μαθηματικους παραλλαττουσιν. Ὡστε, [1] πως ετι προεχουσιν, αρα η ακινητοτεροι, η δυσμαθεστεροι εισι; Ξ. Πως, εφην εγω, τουτο; Π. [2] Ὁτι εν τῳ δευτερῳ περιβολῳ, ει μηδεν αλλο, ὁ προσποιουνται γε επιστασθαι, ουκ οιδασιν· ἑως δ' αν εχωσι ταυτην την δοξαν, ακινητους αυτους αναγκη ειναι προς το ὁρμαν προς την αληθινην Παιδειαν. Ειτα, το ἑτερον ουχ ὁρᾳς, ὁτι και αἱ Δοξαι εκ του πρωτου περιβολου εισπορευονται προς αυτους ὁμοιως; Ὡστε ουθεν οὑτοι εκεινων βελτιους εισιν, εαν μη και τουτοις συνῃ Μεταμελεια, και πεισθωσιν, ὁτι ου Παιδειαν εχουσιν, αλλα Ψευδοπαιδειαν, δι' ἡν απατωνται· οὑτω δε διακειμενοι, ουκ αν ποτε σωθειεν. [3] Και ὑμεις τοινυν, ω Ξενοι, εφη, εαν μη οὑτω ποιητε, και ενδιατριβητε τοις λεγομενοις, μεχρις αν ἑξιν λαβειν. Αλλα περι των αυτων πολλακις δει επισκοπειν, και μη διαλειπειν· τα δε αλλα παρεργα ἡγησασθαι· ει δε μη, ουδεν οφελος εσται ὑμιν ὡν νυν ακουετε.

XXXVI. Ξ. Ποιησομεν. Τουτο δε εξηγησαι, πως ουκ εστιν αγαθα, ὁσα λαμβανουσιν οἱ ανθρωποι

παρα

παρα της Τυχης; οἱον το ζην, το ὑγιαινειν, το πλουτειν, το ευδοξειν, το τεκνα εχειν, το νικαν, και τα λοιπα, ὁσα τουτοις παραπλησια; η παλιν, τα εναντια πως ουκ εστι κακα; πανυ γαρ ἡμιν παραδοξον και απιστον δοκει το λεγομενον. Π. Αγε τοινυν, πειρω, εφη, αποκρινασθαι το φαινομενον [1] περι ων αν σε ερωτω. Ξ. Αλλα ποιησω τουτο, εφην εγω. Π. Ποτερον ουν, καν κακως τις ζη, αγαθον εκεινω το ζην; Ξ. Ου μοι δοκει, αλλα κακον· εφην εγω. Π. Πως ουν αγαθον εστι το ζην, εφη, ειπερ τουτω εστι κακον; Ξ. Ὁτι τοις μεν κακως ζωσι, κακον μοι δοκει ειναι· τοις δε καλως, αγαθον. Π. Και κακον αρα λεγεις το ζην, και αγαθον ειναι; Ξ. Εγωγε.

XXXVII. Π. Μη ουν απιθανως λεγε· αδυνατον γαρ, το αυτο πραγμα και κακον και αγαθον ειναι· οὑτω γαρ και ωφελιμον και βλαβερον αν ειη, και αἱρετον και φευκτον ἁμα αει. Ξ. Απιθανον μεν· [2] αλλα πως ουκ, ει το κακως ζην, ῳ αν ὑπαρχοι, κακον τι ὑπαρχει αυτω, κακον αυτω το ζην εστιν; Π. [3] Αλλ' ου το αυτο, εφη, ὑπαρχει το ζην τω κακως ζην· η ου σοι φαινεται; Ξ. Αμελει ουδ' εμοι δοκει το αυτο ειναι. Π. Το κακως τοινυν ζην, κακον εστι· το δε ζην, ου κακον εστιν· επει, ει ην κακον, τοις ζωσι καλως κακον δη ὑπηρχεν, επει το ζην αυτοις ὑπηρχεν, ὁπερ εστι κακον. Ξ. Αληθη μοι δοκεις λεγειν.

XXXVIII.

XXXVIII. ΓΙ. Επει τοινυν αμφοτεροις συμβαινει το ζην, και τοις κακως ζωσι, και τοις καλως, ουκ αν ειη ουτε αγαθον ειναι το ζην, ουτε κακον· ὥσπερ ουδε το τεμνειν και καιειν εν τοις αρρωστουσιν εστι νοσερον και ὑγιεινον· ουκουν οὑτω και επι του ζην. Ξ. Εστι ταυτα. ΓΙ. Συ τοινυν οὑτω θεωρησον· ποτερον αν βουλοιο ζην κακως, η αποθανειν καλως και ανδρειως; Ξ. Αποθανειν εγωγε καλως. ΓΙ. Ουκουν ουδε το αποθανειν κακον εστιν, ειπερ αἱρετωτερον εστι πολλακις το αποθανειν του ζην. Ξ. Εστι ταυτα. ΓΙ. Ουκουν ὁ αυτος λογος και περι του ὑγιαινειν, και νοσειν· πολλακις γαρ ου συμφερει ὑγιαινειν, αλλα τουναντιον, ὁταν ἡ περιστασις τοιαυτη. Ξ. Αληθη λεγεις.

XXXIX. ΓΙ. Αγε δη, σκεψωμεθα και περι του πλουτειν οὑτως· ειγε θεωρειν εστιν, ὡς πολλακις εστιν ιδειν, ὑπαρχοντα τινι πλουτον, κακως δε ζωντα τουτον και αθλιως. Ξ. Νη Δια, πολλους γε. ΓΙ. Ουκουν ουδεν τουτοις ὁ πλουτος βοηθει εις το ζην καλως; Ξ. Φαινεται· αυτοι γαρ φαυλοι εισιν. ΓΙ. Ουκουν το σπουδαιους ειναι, ουχ ὁ πλουτος ποιει, αλλα ἡ Παιδεια. Ξ. Εικος γε, εκ τουτου αρα του λογου. ΓΙ. Που δε ὁ πλουτος αγαθον εστιν, ειπερ ου βοηθει τοις εχουσιν αυτον εις το βελτιους ειναι; Ξ. Φαινεται. ΓΙ. Οὑτως ουδε συμφερει αρα ενιοις πλουτειν, ὁταν μη επισταυται τῳ πλουτῳ χρησθαι.

Ξ.

Ξ. Δοκει μοι. Π. Πως ουν τουτο αν τις κρινει αγαθον ειναι, ὁ πολλακις ου συμφερει ὑπαρχειν; Ξ. Ουδαμως. Π. Ουκουν ει μεν τις επισταται πλουτῳ χρησθαι καλως και εμπειρως, ευ βιωσεται· ει δε μη, κακως. Ξ. Αληθεστατα μοι δοκεις τουτο λεγειν.

XL. Π. Και [1] το συνολον δε, το τιμαν ταυτα ὡς αγαθα οντα, η ατιμαζειν ὡς κακα, τουτο δ' εστι το ταραττον τους ανθρωπους και βλαπτον· ὁταν τιμωνται τε, και οιονται δια τουτων μονων ειναι [2] το ευδαιμονειν, και πανθ' ὑπομενως πραττωσιν ἑνεκα τουτων, και τα ασεβεστατα δοκουντα ειναι. Ταυτα δε πασχουσι δια την του αγαθου αγνοιαν· [3] αγνοουσι γαρ, ὁτι ου γινεται εκ κακων αγαθον. [4] Πλουτον δε εστι πολλους κτησαμενους ιδειν εκ κακων και αισχρων εργων· οἱον λεγω [5] εκ τε προδιδοναι, και ληΐζεσθαι, και ανδροφονειν, και συκοφαντειν, και αποστερειν, και εξ αλλων πολλων και μοχθηρων. Ξ. Εστι ταυτα.

XLI. Π. Ει τοινυν γινεται εκ κακου αγαθον μηθεν, ὡσπερ εικος, πλουτος δε γινεται εκ κακων εργων· αναγκη μη ειναι αγαθον τον πλουτον. Ξ. Συμβαινει οὑτως εκ τουτου του λογου. Π. [6] Αλλ' ουδε το φρονειν γε ουδε δικαιοπραγειν ουκ εστι κτησασθαι εκ κακων εργων· ὡσαυτως δε ουδε το αδικειν και αφρονειν, εκ καλων εργων· ουδε ὑπαρχειν ἁμα τῳ αυτῳ δυνανται. Πλουτον δε, και δοξαν, και το νικαν,

 και

και τα λοιπα, όσα τουτοις παραπλησια, ουδεν κωλυει ὑπαρχειν τινι ἁμα μετα κακιας πολλης· ὡστε ουκ αν ῃ ταυτα αγαθα, ουτε κακα· αλλα το φρονειν μονον αγαθον, το δε αφρονειν κακον. Ξ. Ἱκανως μοι δοκεις λεγειν, εφην.

FINIS PARTIS PRIMÆ.

COLLECTANEA GRÆCA MINORA.

PARS ALTERA:

COMPLECTENS EXCERPTA EX NONNULLIS POETIS.

I.

Ex ANACREONTIS

CARMINIBUS.

Nec, si quid olim lusit ANACREON
Delevit ætas.—— HOR.

*ΑΝΑΚΡΕΟΝΤΟΣ

ΩΔΑΙ,

I.

ΕΙΣ ΛΥΡΑΝ.

ΘΕΛΩ λεγειν Ατρειδας,
Θελω δε Καδμον ᾳδειν·
Ἁ βαρβιτος δε χορδαις
Ερωτα μουνον ηχει.
Ημειψα νευρα πρωην,
Και την λυρην ἁπασαν·
Κᾳ'γω μεν ηδον αθλους
Ἡρακλεους· λυρη δε
Ερωτας αντεφωνει.

Χαιροιτε,

Χαιροιτε, λοιπον, ἡμιν,
Ἡρωες· ἡ λυρη γαρ
Μονους Ερωτας ᾳδει.

II.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

Φυσις κερατα ταυροις,
Ὁπλας δ' εδωκεν ἱπποις,
Ποδωκιην λαγωοις,
Λεουσι χασμ' οδοντων,
Τοις ιχθυσιν το νηκτον,
Τοις ορνεοις πετασθαι,
Τοις ανδρασι φρονημα·
Γυναιξιν—ουκ ετ' ειχεν.
Τι ουν διδωσι;—καλλος,
Αντ' ασπιδων ἁπασων,
Αντ' εγχεων ἁπαντων.
Νικᾳ δε και σιδηρον,
Και πυρ, καλη τις ουσα.

III.

ΕΙΣ ΕΡΩΤΑ.

Μεσονυκτιοις ποθ' ὡραις,
Στρεφεται ὁτ' Αρκτος ηδη
Κατα χειρα την Βοωτου,
Μεροπων δε φυλα παντα

Κεαται

Κεαται κοπῳ δαμεντα·
Τοτ' Ερως επισταθεις μευ
Θυρεων εκοπτ' οχηας.
Τις, εφην, θυρας αρασσει;
Κατα μευ σχισεις ονειρους.
Ὁ δ' Ερως, ανοιγε, φησι,
Βρεφος ειμι, μη φοβησαι·
Βρεχομαι δε, κα̉ σεληνον
Κατα νυκτα πεπλανημαι.
Ελεησα ταυτ' ακουσας,
Ανα δ' ευθυ λυχνον ἅψας,
Ανεῳξα, και βρεφος μεν
Εσορω φεροντα τοξον,
Πτερυγας τε, και φαρετρην.
Παρα δ' ἱστιην καθιξας,
Παλαμαισι χειρας αυτου
Ανεθαλπον, εκ δε χαιτης
Απεθλιβον ὑγρον ὑδωρ.
Ὁ δ', επει κρυος μεθηκε,
Φερε, φησι, πειρασωμεν
Τοδε τοξον, ες τι μοι νυν
Βλαβεται βραχεισα νευρη.
Τανυει δε, και με τυπτει
Μεσον ἡπαρ, ὥσπερ οιστρος.

Ανα

Ανα δ' ἁλλεται καχαζων,
Ξενε δ', ειπε, συγχαρηθι·
Κερας αϐλαϐες μεν εστι,—
Συ δε καρδιην πονησεις.

IV.

ΕΙΣ ἙΑΥΤΟΝ.

Επι μυρσιναις τερειναις,
Επι λωτιναις τε ποιαις
Στορεσας, θελω προπινειν.
Ὁ δ' Ερως, χιτωνα δησας
Ὑπερ αυχενος παπυρῳ,
Μεθυ μοι διακονειτω.
Τροχος ἁρματος γαρ οἱα
Βιοτος τρεχει κυλισθεις·
Ολιγη δε κεισομεσθα
Κονις, οστεων λυθεντων.
Τι σε δει λιθον μυριζειν;
Τι δε γῃ χεειν ματαια;
Εμε μαλλον, ὡς ετι ζω,
Μυρισον, ῥοδοις δε κρατα
Πυκασον, καλει δ' ἑταιρην.
Πριν, ερω σε, μ' απελθειν
Ὑπο νερτερων χορειας,
Σκεδασαι θελω μεριμνας.

V.

V.

ΕΙΣ ῬΟΔΟΝ.

Το ῥοδον το των Ερωτων
Μιξωμεν Διονυσῳ·
Το ῥοδον το καλλιφυλλον
Κροταφοισιν ἁρμοσαντες,
Πινωμεν ἁβρα γελωντες.
Ῥοδον, ω φεριστον ανθος,
Ῥοδον, ειαρος μελημα·
Ροδα και θεοισι τερπνα.
Ῥοδα παις ὁ της Κυθηρης
Στεφεται καλοις ιουλοις
Χαριτεσσι συγχορευων.
Στεψον ουν με, και λυριζων
Παρα σοις, Διονυσε, σηκοις,
Μετα κουρης βαθυκολπου,
Ῥοδινοισι στεφανισκοις
Πεπυκασμενος, χορευσω.

VI.

ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ.

Ερασμιη πελεια,
Ποθεν, ποθεν πετασαι;
Ποθεν μυρων τοσουτων,
Επ' ηερος θεουσα,

Πνεεις τε και ψεκαζεις;
Τις εις;—τι σοι μελει δε;
Ανακρεων μ' επεμψε
Προς παιδα, προς Βαθυλλον,
Τον αρτι των ἁπαντων
Κρατουντα και τυραννον.
Πεπρακε μ' ἡ Κυθηρη,
Λαβουσα μικρον ὑμνον·
Εγω δ' Ανακρεοντι
Διακονω τοσαυτα.
Και νυν, ὁρᾳς, εκεινου
Επιστολας κομιζω·
Και φησιν ευθεως με
Ελευθερην ποιησειν.
Εγω δε, κην αφη με,
Δουλη μενω παρ' αυτῳ.
Τι γαρ με δει πετασθαι
Ορη τε και κατ' αγρους,
Και δενδρεσιν καθιζειν,
Φαγουσαν αγριον τι;
Ταννν εδω μεν αρτον,
Αφαρπασασα χειρων
Ανακρεοντος αυτου·

Πιειν

Πιειν δε μοι διδωσι
Τον οινον, ὃν προπινει.
Πιουσα δ' αν χορευω,
Και δεσποτην εμοισι
Πτεροισι συσκιαζω·
Κοιμωμενη δ' επ' αυτῳ
Τῳ βαρβιτῳ καθευδω.
Εχεις ἁπαντ'· απελθε.
Λαλιστεραν μ' εθηκας,
Ανθρωπε, και κορωνης.

VII.

ΕΙΣ ἙΑΥΤΟΝ.

Λεγουσιν αἱ γυναικες·
Ανακρεων, γερων ει·
Λαβων εσοπτρον, αθρει
Κομας μεν ουκ ετ' ουσας,
Ψιλον δε σευ μετωπον.
Εγω δε τας κομας μεν,
Ειτ' εισιν, ειτ' απηλθον,
Ουκ οιδα· τουτο δ' οιδα,
Ὡς τῳ γεροντι μαλλον
Πρεπει τα τερπνα παιζειν,
Ὁσῳ πελας τα Μοιρης.

VIII.

VIII.

ΕΙΣ ΕΡΩΤΑ.

Θελω, θελω φιλησαι·
Επειθ' Ερως φιλειν με·
Εγω δ' εχων νοημα
Αβουλον, ουκ επεισθην.
'Ο δ' ευθυ τοξον αρας
Και χρυσεην φαρετρην,
Μαχῃ με προυκαλειτο.
Κα'γω λαβων επ' ωμων
Θωρηχ', ὁπως Αχιλλευς,
Και δουρα, και βοειην,
Εμαρναμην Ερωτι.
Εβαλλ', εγω δ' εφευγον,
'Ως δ' ουκ ετ' ειχ' οϊστους,
Ησχαλλεν· ειθ' ἑαυτον
Αφηκεν εις βελεμνον·
Μεσος δε καρδιης μευ
Εδυνε, και μ' ελυσε.
Ματην δ' εχω βοειην·
Τι γαρ βαλωμεθ' εξω,
Μαχης εσω μ' εχουσης;

IX.

IX.

ΕΙΣ ΤΗΝ ʽΕΑΥΤΟΥ ʽΕΤΑΙΡΑΝ.

Αγε, ζωγραφων αριστε,
Γραφε, ζωγραφων αριστε,
ʽΡοδιης κοιρανε τεχνης,
Απεουσαν, ὡς αν ειπω,
Γραφε την εμην ἑταιρην.
Γραφε μοι τριχας το πρωτον
ʽΑπαλας τε και μελαινας·
ʽΟ δε κηρος αν δυνηται,
Γραφε και μυρου πνεουσας.
Γραφε δ' εξ ὁλης παρειης
ʽΥπο πορφυραισι χαιταις
Ελεφαντινον μετωπον.
Το μεσοφρυον δε μη μοι
Διακοπτε, μητε μισγε.
Εχετω δ', ὁπως εκεινη,
Το λεληθοτως συνοφρυν,
Βλεφαρων ιτυν κελαινην.
Το δε βλεμμα νυν αληθως
Απο του πυρος ποιησον,
ʽΑμα γλαυκον, ὡς Αθηνης,
ʽΑμα δ' ὑγρον, ὡς Κυθηρης.
Γραφε ῥινα και παρειας,

ʽΡοδα

Ῥοδα τῳ γαλακτι μιξας.
Γραφε χειλος, οἱα Πειθους,
Προκαλουμενον φιλημα.
Τρυφερου δ' εσω γενειου,
Περι λυγδινῳ τραχηλῳ,
Χαριτες πετοιντο πασαι.
Στολισον τολοιπον αυτην
Ὑποπορφυροισι πεπλοις·
Διαφαινετω δε σαρκων
Ολιγον, το σωμ' ελεγχον.
Απεχει· βλεπω γαρ αυτην.
Ταχα, κηρε, και λαλησεις.

X.

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Συ μεν, φιλη χελιδων,
Ετησιη μολουσα,
Θερει πλεκεις καλιην·
Χειμωνι δ' εις αφαντος
Η Νειλον η 'πι Μεμφιν.
Ερως δ' αει πλεκει μευ
Εν καρδιῃ καλιην.
Ποθος δ' ὁ μεν πτερουται,
Ὁ δ' ωον εστιν ακμην,
Ὁ δ' ἡμιλεπτος ηδη.

Βοη

Βοη δε γινετ' αιει
Κεχηνοτων νεοττων.
Ερωτιδεις δε μικρους
Οἱ μειζονες τρεφουσιν.
Οἱ δε τραφεντες ευθυς
Παλιν κυουσιν αλλους.
Τι μηχος ουν γενηται;
Ου γαρ σθενω τοσουτους
Ερωτας εκσοβησαι.

XI.

ΕΙΣ ΤΟ ΕΑΡ.

Ιδε, πως εαρος φανεντος
Χαριτες ῥοδα βρυουσιν·
Ιδε, πως κυμα θαλασσης
Ἁπαλυνεται γαληνῃ·
Ιδε, πως νησσα κολυμβᾳ·
Ιδε, πως γερανος ὁδευει·
Αφελως δ' ελαμψε Τιταν.
Νεφελων σκιαι δονουνται·
Τα βροτων δ' ελαμψεν εργα.
Καρποισι γαια προκυπτει·
Καρπος ελαιας προκυπτει.
Βρομιου στεφεται ναμα.
Κατα φυλλον, κατα κλωνα,
Καθελων ηνθησε καρπος.

XII.

XII.

ΕΙΣ ΕΡΩΤΑ.

Ερως ποτ' εν ῥοδοισι
Κοιμωμενην μελιτταν
Ουκ ειδεν, αλλ' ετρωθη.
Τον δακτυλον δε δαχθεις
Τας χειρος ωλολυξε·
Δραμων δε και πετασθεις
Προς την καλην Κυθηρην,
Ολωλα, ματερ, ειπεν,
Ολωλα, κα'ποθνησκω.
Οφις μ' ετυψε μικρος
Πτερωτος, ὁν καλουσι
Μελιτταν οἱ γεωργοι.
Ἁ δ' ειπεν, ει το κεντρον
Πονει το τας μελιττας,
Ποσον, δοκεις, πονουσιν,
Ερως, ὁσους συ βαλλεις;

XIII.

ΕΙΣ ΤΕΤΤΙΓΑ.

Μακαριζομεν σε, τεττιξ,
Ὁτι δενδρεων επ' ακρων,
Ολιγην δροσον πεπωκως,
Βασιλευς ὁπως, αειδεις·

Σα

Σα γαρ εστι κεινα παντα,
Ὁποσα βλεπεις εν αγροις,
Χ' ὁποσα φερουσιν ὑλαι.
Συ δε φιλιος γεωργων,
Απο μηδενος τι βλαπτων·
Συ δε τιμιος βροτοισι,
Θερεος γλυκυς προφητης.
Φιλεουσι μεν σε Μουσαι·
Φιλεει δε Φοιβος αυτος,
Λιγυρὴν δ' εδωκεν οιμην·
Το δε γηρας ου σε τειρει,
Σοφε, γηγενης, φιλυμνε,
Απαθης, αναιμοσαρκε·
Σχεδον ει θεοις ὁμοιος.

XIV.

ΕΙΣ ΕΡΩΤΑ.

Χαλεπον το μη φιλησαι,
Χαλεπον δε και φιλησαι·
Χαλεπωτερον δε παντων
Αποτυγχανειν φιλουντα,
Γενος ουδεν εις Ερωτα·
Σοφιη, τροπος πατειται·
Μονον αργυρον βλεπουσιν.
Απολοιτο πρωτος αυτος,

Ὁ τον αργυρον φιλησας.
Δια τουτον ουκ αδελφος,
Δια τουτον ου τοκηες·
Πολεμοι, φονοι δι' αυτον.
Το δε χειρον, ολλυμεσθα
Δια τουτον οἱ φιλουντες.

XV.

ΕΙΣ ΓΕΡΟΝΤΑ.

Φιλω γεροντα τερπνον,
Φιλω νεον χορευταν.
Γερων δ' ὁταν χορευῃ,
Τριχας γερων μεν εστι,
Τας δε φρενας νεαζει.

II.

EX BIONIS IDYLLIIS.

*ΒΙΩΝΟΣ ΕΙΔΥΛΛΙΑ.

I.

ΕΚ ΤΟΥ ΕΠΙΤΑΦΙΟΥ ΑΔΩΝΙΔΟΣ.

ΑΙΑΖΩ τον Αδωνιν· επαιαζουσιν Ερωτες.
Κειται καλος Αδωνις επ' ωρεσι, μηρον οδοντι
Λευκῳ λευκον οδοντι τυπεις, και Κυπριν ανιᾳ
Λεπτον αποψυχων· το δε οἱ μελαν ειβεται αἱμα
Χιονεας κατα σαρκος· ὑπ' οφρυσι δ' ομματα ναρκει,
Και το ῥοδον φευγει τω χειλεος· αμφι δε τηνῳ
Θνασκει και το φιλαμα, το μηποτε Κυπρις αφήσει.
Κυπριδι μεν το φιλαμα και ου ζωοντος αρεσκει·
Αλλ' ουκ ειδεν Αδωνις ὁ μιν θνασκοντ' εφιλασεν.
Αι, αι, ταν Κυθερειαν! απωλετο καλος Αδωνις.
Ὡς ιδεν, ὡς ενοησεν Αδωνιδος ασχετον ἑλκος,
Ὡς ιδε φοινιον αἱμα μαραινομενῳ περι μηρῳ,
Παχεας αμπετασασα κινυρετο, Μεινον, Αδωνι,

Δυσποτμε

Δυσποτμε μεινον Αδωνι, πανυστατον ὡς σε κιχειω,
Ὡς σε περιπτυξω, και χειλεα χειλεσι μιξω.
Φευγεις μακρον, Αδωνι, και ερχεαι εις Αχεροντα,
Και στυγνον βασιληα και αγριον· ἁ δε ταλαινα
Ζωω, και θεος εμμι, και ου δυναμαι σε διωκειν.
Λαμβανε, Περσεφονα, τον εμον ποσιν· εσσι γαρ αυτα
Πολλον εμευ κρεισσων· το δε παν καλον ες σε καταρρει.
Θνασκεις, ω τριποθατε· ποθος δε μοι, ὡς οναρ, επτη.
Σοι δ' ἁμα κεστος ολωλε· τι γαρ, τολμηρε, κυναγεις;
Καλος εων τοσσουτον εμηνας θηρσι παλαιειν;
Ὡδ' ολοφυρατο Κυπρις· επαιαζουσιν Ερωτες.

Αι, αι, ταν Κυθερειαν! Απωλετο καλος Αδωνις.
Δακρυον ἁ Παφιη τοσον εκχεει, ὁσσον Αδωνις
Αἱμα χεει· τα δε παντα ποτι χθονι γιγνεται ανθη·
Αἱμα ῥοδον τικτει· τα δε δακρυα ταν ανεμωναν.
Αιαζω τον Αδωνιν· απωλετο καλος Αδωνις.
Μηκετ' ενι δρυμοισι τον ανερα μυρεο, Κυπρι·
Εστ' αγαθα στιβας, εστιν Αδωνιδι φυλλας ἑτοιμα.
Λεκτρον εχει, Κυθερεια, το σον τοδε νεκρος Αδωνις·
Και νεκυς ων καλος εστι, καλος νεκυς οἱα καθευδων.
Κεκλιται ἁβρος Αδωνις εν εἱμασι πορφυρεοισιν.
Αμφι δε μιν κλαιοντες αναστεναχουσιν Ερωτες,
Κειραμενοι χαιτας επ' Αδωνιδι· χὡ μεν οϊστως,
Ὁς δ' επι τοξον εβαιν', ὁς δ' ευπτερον αγε φαρετρην·
Χὡ μεν ελυσε πεδιλον Αδωνιδος, ὁς δε λεβησι

Χρυσειοις

Χρυσειοις φορεησιν ὑδωρ, ὁ δε μηρια λουει·
Ὁς δ' οπιθεν πτερυγεσσιν αναψυχει τον Αδωνιν.
Αυταν ταν Κυθερειαν επαιαζουσιν Ερωτες·
Εσβεσε λαμπαδα πασαν επι φλιαις Ὑμεναιος,
Και στεφος εξεπετασσε γαμηλιον· ουκετι δ' Ὑμᾶν,
Ὑμαν ουκετ' αειδομενον μελος, ᾳδεται αι, αι.
Αἱ Χαριτες κλαιοντι τον υἱεα τω Κινυραο,
Και μιν επαειδουσιν· ὁ δε σφισιν ουκ επακουει,
Ου μαν ουκ εθελει, κωρα δε μιν ουκ απολυει.

II.

ΙΞΕΥΤΑΣ.

Ιξευτας, ετι κωρος, εν αλσεϊ δενδραεντι
Ορνεα θηρευων, τον αποτροπον ειδεν Ερωτα
Ἑσδομενον πυξοιο ποτι κλαδον· ὡς δ' ενοασε,
Χαιρων, ὡνεκα δη μεγα φαινετο ορνεον αυτῳ,
Τως καλαμως ἁμα παντας επ' αλλαλοισι συναπτων,
Τᾳ και τᾳ τον Ερωτα μεταλμενον αμφεδοκευεν,
Χὡ παις ασχαλαων ἑνεχ' οἱ τελος ουδεν απαντη,
Τως καλαμως ῥιψας, ποτ' αροτρεα πρεσβυν ἱκανεν,
Ὁς νιν τανδε τεχναν εδιδαξατο· και λεγεν αυτῳ,
Και οἱ δειξεν Ερωτα καθημενον. Αυταρ ὁ πρεσβυς
Μειδιαων κινησε καρην, και αμειβετο παιδα·
Φειδεο τας θηρας, μηδ' ες τοδε τ'ωρνεον ερχευ.

Φευγε

Φευγε μακραν· κακον εντι το θηριον· ολβιος εσσῃ
Εισοκα μη μιν ἑλῃς· ην δ' ανερος ες μετρον ελθῃς,
Οὑτος ὁ νυν φευγων ϗ απαλμενος, αυτος αφ' αὑτω
Ελθων εξαπινας, κεφαλαν επι σειο καθιξει.

III.

ΚΛΕΟΔΑΜΟΣ ΚΑΙ ΜΥΡΣΩΝ.

Ειαρος, ω Μυρσων, η χειματος η φθινοπωρου,
Η θερεος, τι τοι ἁδυ; τι δε πλεον ευχεαι ελθειν;
Η θερος, ἁνικα παντα τελειεται ὁσσα μογευμες;
Η γλυκερον φθινοπωρον, ὁτ' ανδρασι λιμος ελαφρα;
Η και χειμα δυσεργον; επει και χειματι πολλοι
Θαλπομενοι θελγονται αεργιῃ τε και οκνῳ·
Ητοι καλον εαρ πλεον ευαδεν; ειπε, τι τοι φρην
Αἱρειται· λαλεειν γαρ επετραπεν ἁ σχολα ἡμιν.

Μ. Κρινειν ουκ επεοικε θεηϊα εργα βροτοισι.
Παντα γαρ ἱερα ταυτα και ἁδεα· σευ δε ἑκατι
Εξερεω, Κλεοδαμε, το μοι πελεν ἁδιον αλλων.
Ουκ εθελω θερος ημεν, επει τοκα μ' ἁλιος οπτῃ·
Ουκ εθελω φθινοπωρον, επει νοσον ὡρια τικτει·
Ουλον χειμα φερειν, νιφετον, κρυμους τε φοβευμαι.
Ειαρ εμοι τριποθατον ὁλῳ λυκαβαντι παρειη,
Ἁνικα μητε κρυος, μηθ' ἁλιος αμμε βαρυνει.
Ειαρι παντα κυει, παντ' ειαρος ἁδεα βλαστει·
Χἁ νυξ ανθρωποισιν ισα, και ὁμοιϊος ἀως.

III.

III.

EX MOSCHI IDYLLIIS.

---

*ΜΟΣΧΟΥ ΕΙΔΥΛΛΙΑ.

I.

ΕΡΩΣ ΔΡΑΠΕΤΗΣ.

'Α ΚΥΠΡΙΣ τον Ερωτα τον υἱεα μακρον εβωστρει·
Ει τις επι τριοδοισι πλανωμενον ειδεν Ερωτα,
Δραπετιδας εμος εστιν· ὁ μανυτας γερας ἑξει.
Μισθος τοι το φιλαμα το Κυπριδος· ην δ' αγαγης νιν,
Ου γυμνον το φιλαμα, τι δ', ω ξενε, κ̧ πλεον ἑξεις.
Εστι δ' ὁ παις περισαμος· εν εικοσι πασι μαθοις νιν.
Χρωτα μεν ου λευκος, πυρι δ' εικελος· ομματα δ' αυτω
Δριμυλα κ̧ φλογοεντα· κακαι φρενες, ἁδυ λαλημα·
Ου γαρ ισον νοεει και φθεγγεται· ὡς μελι, φωνα.
Ην δε χολα, νοος εστιν αναμερος, ηπεροπευτας,
Ουδεν αλαθευων· δολιον βρεφος, αγρια παισδει.
Ευπλοκαμον το καρανον, εχει δ' ιταμον το προσωπον.
Μικκυλα

Μικκυλα μεν τηνω τα χερυδρια, μακρα δε βαλλει·
Βαλλει κ' εις Αχεροντα, και εις Αϊδεω βασιληα.
Γυμνος μεν τογε σωμα, νοος δε οἱ εμπεπυκασται·
Και πτεροεις, ὁσον ορνις, εφιπταται αλλοτ' επ' αλλως
Ανερας ηδε γυναικας, επι σπλαγχνοις δε καθηται.
Τοξον εχει μαλα βαιον, ὑπερ τοξῳ δε βελεμνον·
Τυτθον ἑοι το βελεμνον, ες αιθερα δ' αχρι φορειται.
Και χρυσεον περι νωτα φαρετριον, ενδοθι δ' εντι
Τοι πικροι καλαμοι, τοις πολλακι κῆμε τιτρωσκει.
Παντα μεν αγρια, παντα· πολυ πλειον δε οἱ αυτῳ
Βαια λαμπας εοισα τον ἁλιον αυτον αναιθει.
Ην τυ γ' ἑλῃς τηνον, δασας αγε, μηδ' ελεησῃς.
Κῆν ποτ' ιδῃς κλαιοντα, φυλασσεο μη σε πλανησῃ.
Κῆν γελαᾳ, τυ νιν ἑλκε· και ην εθελῃ σε φιλασαι,
Φευγε· κακον το φιλαμα, τα χειλεα φαρμακον εντι.
Ην δε λεγῃ, Λαβε ταυτα, χαριζομαι ὁσσα μοι ὁπλα,
Μη τι θιγῃς, πλανα δωρα· τα γαρ πυρι παντα βεβαπται.

II.

ΕΚ ΤΟΥ ΕΠΙΤΑΦΙΟΥ ΒΙΩΝΟΣ.

Αρχετε, Σικελικαι, τω πενθεος, αρχετε, Μοισαι.
Αδονες, αἱ πυκινοισιν οδυρομεναι ποτι φυλλοις,
Ναμασι τοις Σικελοις αγγειλατε τας Αρεθουσας,
Ὁττι Βιων τεθνακεν ὁ βωκολος, ὁττι συν αυτῳ
Και το μελος τεθνακε, και ωλετο Δωρις αοιδα.

Αρχετε,

Αρχετε, Σικελικαι, τω πενθεος, αρχετε, Μοισαι.
Κεινος, ὁ ταις αγελαισιν ερασμιος, ουκετι μελπει;
Ουκετ' ερημαιαισιν ὑπο δρυσιν ἡμενος ᾳδει·
Αλλα παρα Πλουτηϊ μελος ληθαιον αειδει.
Αρχετε, Σικελικαι, τω πενθεος, αρχετε, Μοισαι.
Τις ποτε σᾳ συριγγι μελισδεται, ω τριποθατε;
Τις δ' επι σοις καλαμοις θασει στομα; τις θρασυς οὑτως;
Εισετι γαρ πνειει τα σα χειλεα, και το σον ασθμα.
Αχω δ' εν δονακεσσι τεας επιβοσκετ' αοιδας.
Πανι φερω το μελισμα· ταχ' αν κα'κεινος ερεισαι
Το στομα δειμαινοι, μη δευτερα θειο φερηται.
Τουτο τοι, ω ποταμων λιγυρωτατε, δευτερον αλγος·
Τουτο, Μελη, νεον αλγος· απωλετο πραν τοι Ὁμηρος,
Τηνο το Καλλιοπας γλυκερον στομα· και σε λεγοντι
Μυρεσθαι καλον υἱα πολυκλαυστοισι ῥεεθροις,
Πασαν δ' επλησας φωνας ἁλα· νυν παλιν αλλον
Υἱεα δακρυεις, αινῳ δ' επι πενθεϊ τακῃ.
Αμφοτεροι παγαις πεφιλαμενοι· ὁς μεν επινε
Παγασιδος κρανας, ὁ δ' εχεν πομα τας Αρεθουσας.
Χὠ μεν Τυνδαρεοιο καλαν αεισε θυγατρα,
Και Θετιδος μεγαν υἱα και Ατρειδαν Μενελαον·
Κεινος δ' ου πολεμους, ου δακρυα, Πανα δ' εμελπε,
Και βωτας ελιγαινε, και αειδων ενομευε,

Και συριγγας ετευχε, και ἁδεα πορτιν αμελγε,
Και παιδων εδιδασκε φιλαματα, και τον Ερωτα
Ετρεφεν εν κολποισι, και ηρεσε την Αφροδιτην.
Αρχετε, Σικελικαι, τω πενθεος, αρχετε, Μοισαι.
Πασα, Βιων, θρηνει σε κλυτη πολις, αστεα παντα.
Ασκρη μεν γοαει σε πολυ πλεον Ἡσιοδοιο·
Πινδαρον ου ποθεοντι τοσον Βοιωτιδες ὑλαι·
Ουδε τοσον τον αοιδον εμυρατο Κηϊον αστυ·
Σε πλεον Αρχιλοχοιο ποθει Παρος· αντι δε Σαπφῦς
Εισετι σευ το μελισμα κινυρεται ἁ Μιτυλανα.
Αρχετε, Σικελικαι, τω πενθεος, αρχετε, Μοισαι.
Αι, αι, ται μαλαχαι μεν επαν κατα καπον ολωνται,
Η τα χλωρα σελινα, το τ' ευθαλες ουλον ανηθον,
Ὑστερον αυ ζωοντι, και εις ετος αλλο φυοντι·
Αμμες δ' οἱ μεγαλοι, και καρτεροι, η σοφοι ανδρες,
Ὁπποτε πρωτα θανωμες, ανακοοι εν χθονι κοιλᾳ
Εὑδομες ευ μαλα μακρον ατερμονα νηγρετον ὑπνον,
Και συ μεν εν σιγᾳ πεπυκασμενος εσσεαι εν γᾳ.

IV.

IV

EX TYRTÆI ELEGIIS.

* ΤΥΡΤΑΙΟΥ ΕΛΕΓΕΙΑΙ.

I.

Περι της πολεμικης αρετης.

ΟΥΤ' αν μνησαιμην, ουτ' εν λογω ανδρα τιθειμην,
  Ουτε ποδων αρετης, ουτε παλαισμοσυνης·
Ουδ' ει Κυκλωπων μεν εχοι μεγεθος τε βιην τε,
  Νικωη δε θεων Θρηΐκιον Βορεην·
Ουδ' ει Τιθωνοιο φυην χαριεστερος ειη,
  Πλουτοιη δε Μιδεω και Κινυραο πλεον·
Ουδ' ει Τανταλιδεω Πελοπος βασιλευτερος ειη,
  Γλωσσαν δ' Αδρηστου μειλιχογηρυν εχοι·
Ουδ' ει πασαν εχοι δοξαν, πλην θουριδος αλκης.
  Ου γαρ ανηρ αγαθος γιγνεται εν πολεμω,
Ει μη τετλαιη μεν ὁρων φονον αἱματοεντα,
  Και δηΐων ορεγοιτ' εγγυθεν ἱσταμενος.

Ἡ

῾Η δ' αρετη, τοδ' αεθλον εν ανθρωποισιν αριστον,
Καλλιστον τε φερειν γιγνεται ανδρι νεῳ.
Ξυνον δ' εσθλον τουτο πολη̈ι τε, παντι τε δημῳ,
῾Οστις ανηρ [1] διαβας εν προμαχοισι μενῃ
Νωλεμεως, αισχρας δε φυγης επιπαγχυ λαθηται,
Ψυχην και θυμον τλημονα [2] παρθεμενος,
Θαρσυνῃ δε πεσειν τον πλησιον ανδρα παρεστως·
Οὑτος ανηρ αγαθος γιγνεται εν πολεμῳ.
Αιψα δε δυσμενεων ανδρων ετρεψε φαλαγγας
Τρηχειας, σπουδῃ τ' εσχεθε κυμα μαχης·
Αυτος δ' εν προμαχοισι πεσων φιλον ωλεσε θυμον,
Αστυ τε και λαους, και πατερ' ευκλεΐσας·
Πολλα δια στερνοιο, και ασπιδος ομφαλοεσσης,
Και δια θωρηκος προσθεν εληλαμενος.
Τον δ' ολοφυρονται μεν ὁμως νεοι ηδε γεροντες,
Αργαλεῳ δε ποθῳ πασα κεκηδε πολις.
Και τυμβος, και παιδες εν ανθρωποις αρισημοι,
Και παιδων παιδες, και γενος εξοπισω·
Ουδε ποτε κλεος εσθλον απολλυται, ȣδ' ονομ' αυτȣ,
Αλλ', ὑπο γης περ εων, γιγνεται αθανατος,
῾Οντιν' αριστευοντα, μενοντα τε, μαρναμενον τε
Γης περι και παιδων, θουρος Αρης ολεσῃ.
Ει δε φυγοι μεν κηρα τανηλεγεος θανατοιο,
Νικησας δ' αιχμης αγλαον ευχος ἑλοι·

Παντες

Παντες μιν τιμωσιν ὁμως νεοι ηδε παλαιοι,
Πολλα δε τερπνα παθων ερχεται εις αϊδην.
Γηρασκων δ' αστοισι μεταπρεπει, ουδε τις αυτον
Βλαπτειν, ουτ' αιδους, ουτε δικης, ἐθελει.
Παντες δ' εν θωκοισιν ὁμως νεοι, οἱ τε κατ' αυτον,
Εικουσ' εκ χωρης, οἱ τε παλαιοτεροι.
Ταυτης νυν τις ανηρ αρετης εις ακρον ἱκεσθαι
Πειρασθω, θυμον μη μεθιεις πολεμου.

II.

Του αυτου.

Τεθναμεναι γαρ καλον ενι προμαχοισι πεσοντα
Ανδρ' αγαθον, περι ᾗ πατριδι μαρναμενον.
Την δ' ἁυτου προλιποντα πολιν και πιονας αγρους
Πτωχευειν, παντων εστ' ανιηροτατον,
Πλαζομενον συν μητρι φιλῃ, και πατρι γεροντι,
Παισι τε συν μικροις, κουριδιῃ τ' αλοχῳ.
Εχθρος μεν γαρ τοισι μετεσσεται οὑς κεν ἱκηται,
Χρησμοσυνῃ τ' εικων και στυγερῃ πενιῃ·
Αισχυνει τε γενος, κατα δ' αγλαον ειδος ελεγχει,
Πασα δ' αθυμια και κακοτης ἑπεται.
Ειθ' οὑτως ανδρος τοι αλωμενου ουδεμι' ωρη
Γιγνεται, ουτ' αιδως εισοπισω τελεθει.
Θυμῳ γης περι της δε μαχωμεθα, και περι παιδων
Θνησκωμεν, ψυχεων μηκετι φειδομενοι.

Ω

Ω νεοι, αλλα μαχεσθε παρ' αλληλοισι μενοντες,
    Μηδε φυγης αισχρας αρχετε, μηδε φοβου.
Αλλα μεγαν ποιειτε και αλκιμον εν φρεσι θυμον,
    Μηδε φιλοψυχειτ' ανδρασι μαρναμενοι.
Τους δε παλαιοτερους, ὧν ουκετι γουνατ' ελαφρα,
    Μη καταλειποντες φευγετε τους γεραιους.
Αισχρον γαρ δη τουτο, μετα προμαχοισι πεσοντα
    Κεισθαι προσθε νεων ανδρα παλαιοτερον,
Ηδη λευκον εχοντα καρη, πολιον τε γενειον,
    Θυμον αποπνειοντ' αλκιμον εν κονιῃ,
Και χροα γυμνωθεντα· νεοισι δε παντ' επεοικεν,
    Οφρ' αρα της ἥβης αγλαον ανθος εχῃ.
Ανδρασι μεν θνητοισιν, ιδειν ερατος δε γυναιξι,
    Ζωος εων· καλος δ', εν προμαχοισι πεσων.

FINIS

PARTIS SECUNDÆ.

COLLECTANEA GRÆCA MINORA.

PARS TERTIA:

COMPLECTENS EXCERPTA EX SCRIPTORIBUS

HEBRÆO-GRÆCIS.

I.

Ex VETERE TESTAMENTO

SECUNDUM SEPTUAGINTA.

Inter Græcas Veteris Testamenti Versiones principem locum merito obtinet celebris illa LXXII. *Interpretum, quæ in tanto honore fuit tam apud Judæos, quam Christianos, tum Orientis, tum Occidentis: ut ab illis in Synagogis; ab his fere sola, vel ex eâ factæ versiones, in Ecclesiis, publice perlegerentur.*

WALTONUS.

Ἡ ΠΑΛΑΙΑ ΔΙΑΘΗΚΗ

κατα τους ἑβδομηκοντα.

I. Εκ Γενεσεως.

ARGUMENTUM.—*Occasio, quâ familiæ et gentes terræ sese separaverunt, atque in diversas regiones commigraverunt.*

ΚΑΙ ην πασα ἡ γη χειλος ἑν, και φωνη μια πασι· και εγενετο εν τῳ κινησαι αυτους απο ανατολων, εὗρον πεδιον εν γῃ Σενααρ, και κατῳκησαν εκει. Και

Και ειπεν ανθρωπος τω πλησιον αυτου· Δευτε, πλινθευσωμεν πλινθους, και οπτησωμεν αυτας πυρι. Και εγενετο αυτοις ἡ πλινθος εις λιθον· και ασφαλτος ην αυτοις ὁ πηλος. Και ειπαν· Δευτε, οικοδομησωμεν ἑαυτοις πολιν και πυργον, οὑ εσται ἡ κεφαλη ἑως τȣ ουρανου· και ποιησωμεν ἑαυτοις ονομα, προ του διασπαρηναι ἡμας επι προσωπου πασης της γης. Και κατεβη Κυριος ιδειν την πολιν και τον πυργον, ὁν ῳκοδομησαν οἱ υἱοι των ανθρωπων. Και ειπε Κυριος· Ιδου, γενος ἑν, και χειλος ἑν παντων· και τουτο ηρξαντο ποιησαι· και νυν ουκ εκλειψει απ' αυτων παντα, ὁσα αν επιθωνται ποιειν. Δευτε, και καταβαντες συγχεωμεν αυτων εκει την γλωσσαν, ἱνα μη ακουσωσιν ἑκαστος την φωνην του πλησιον. Και διεσπειρεν αυτους Κυριος εκειθεν επι προσωπον πασης της γης· και επαυσαντο οικοδομουντες την πολιν και τον πυργον. Δια τουτο εκληθη το ονομα αυτης, Συγχυσις· ὁτι εκει συνεχεε Κυριος τα χειλη πασης της γης· και εκειθεν διεσπειρεν αυτους Κυριος επι προσωπον πασης της γης.

II. Εκ της αυτης.

Arg.—*Abrami reditus in Canaan et separatio a Loto.*

ΑΝΕΒΗ δε Ἀβραμ ἐξ Αιγυπτου αυτος, και ἡ γυνη αυτου, και παντα τα αυτου, και Λωτ μετ' αυτου

εις

εις την ερημον. Ἀβραμ δε ην πλουσιος σφοδρα κτηνεσι, ϗ αργυριῳ, και χρυσιῳ. Και επορευθη ὁθεν ηλθεν εις την ερημον ἑως Βαιθηλ, ἑως του τοπου, ȣ ην ἡ σκηνη αυτȣ το προτερον, ανα μεσον Βαιθηλ ϗ ανα μεσον Αγγαι, εις τον τοπον τȣ θυσιαστηριου, ȣ εποιησεν εκει την αρχην· και επεκαλεσατο εκει Ἀβραμ το ονομα του Κυριου. Και Λωτ τῳ συμπορευομενῳ μετα Ἀβραμ ην προβατα. και βοες, και σκηναι. Και ουκ εχωρει αυτους ἡ γη κατοικειν ἁμα· ὁτι ην τα ὑπαρχοντα αυτων πολλα· και ουκ εχωρει αυτους ἡ γη κατοικειν ἁμα. Και εγενετο μαχη ανα μεσον των ποιμενων των κτηνων του Ἀβραμ, και ανα μεσον των ποιμενων των κτηνων του Λωτ· οἱ δε Χαναναιοι ϗ οἱ Φερεζαιοι τοτε κατῳκουν την γην. Ειπε δε Ἀβραμ τῳ Λωτ· Μη εστω μαχη ανα μεσον εμου και σου, και ανα μεσον των ποιμενων μου και ανα μεσον των ποιμενων σου· ὁτι ανθρωποι αδελφοι εσμεν ἡμεις. Ουκ, ιδου, πασα ἡ γη εναντιον σου εστι; διαχωρισθητι απ' εμου· ει συ εις αριστερα, εγω εις δεξια· ει δε συ εις δεξια, εγω εις αριστερα. Και επαρας Λωτ τους οφθαλμους αυτου, επει δε πασαν την περιχωρον του Ιορδανου, ὁτι πασα ην ποτιζομενη, προ του καταστρεψαι τον Θεον Σοδομα και Γομορρα, ὡς ὁ παραδεισος του Θεου, και ὡς ἡ γη Αιγυπτου, εως ελθειν εις Ζογορα. Και εξελεξατο ἑαυτῳ Λωτ πασαν την περιχωρον του Ιορδανου· και απηρε Λωτ

απο

απο ανατολων· και διεχωρισθησαν ἑκαστος απο του αδελφου αυτου. Ἀβραμ δε κατῳκησεν εν γῃ Χαναων. Λωτ δε κατῳκησεν εν πολει των περιχωρων, και εσκηνωσεν εν Σοδομοις. Οἱ δε ανθρωποι οἱ εν Σοδομοις πονηροι και ἁμαρτωλοι εναντιον του Θεου σφοδρα.

III. Εκ Βασιλειων Α.

Arg.—*In quodam bello Hebræorum cum Philistæis, Goliath provocat quemcunque Hebræum ad singulare certamen, et demum a Davide interficitur, atque Hebræi cædunt Philistæos.*

ΚΑΙ συναγουσιν αλλοφυλοι τας παρεμβολας αυτων εις πολεμον, και συναγονται εις Σοκχωθ της Ιουδαιας, και παρεμβαλλουσιν αναμεσον Σοκχωθ, και αναμεσον Αζηκα Εφερμεν. Και Σαουλ και οἱ ανδρες Ισραηλ συναγονται, και παρεμβαλλουσιν εν τῃ κοιλαδι αυτοι, και παρατασσονται εις πολεμον εξεναντιας των αλλοφυλων. Και οἱ αλλοφυλοι ἱστανται επι του ορους ενταυθα, και Ισραηλ ἱσταται επι του ορους ἐνταυθα, και ὁ αυλων αναμεσον αυτων. Και εξηλθεν ανηρ δυνατος εκ της παραταξεως των αλλοφυλων, Γολιαθ ονομα αυτῳ, εκ Γεθ, ὑψος αυτου τεσσαρων πηχεων και σπιθαμης. Και περικεφαλαια επι της κεφαλης αυτου, και θωρακα ἁλυσιδωτον αυτος ενδεδυκως· και ὁ σταθμος του θωρακος αυτου,

πεντε

πεντε χιλιαδες σικλων χαλκου και σιδηρου. Και κνημιδες χαλκαι επι των σκελων αυτου, και ασπις χαλκη αναμεσον των ωμων αυτου. Και ὁ κοντος του δορατος αυτου ὡσει μεσακλον ὑφαινοντων, και ἡ λογχη αυτου εξακοσιων σικλων σιδηρου· και ὁ αιρων τα ὁπλα αυτου προεπορευετο αυτου. Καὶ εστη και ανεβοησεν εις την παραταξιν Ισραηλ, και ειπεν αυτοις· Τι εκπορευεσθε παραταξασθαι πολεμῳ εξεναντιας ἡμων; ουκ εγω ειμι αλλοφυλος, και ὑμεις Ἑβραιοι του Σαουλ; εκλεξασθε ἑαυτοις ανδρα, και καταβητω προς με. Και εαν δυνηθη πολεμησαι προς με, και εαν παταξῃ με, και εσομεθα ὑμιν εις δουλους· εαν δε εγω δυνηθω και παταξω αυτον, εσεσθε ἡμιν εις δουλους, και δουλευσετε ἡμιν. Και ειπεν ὁ αλλοφυλος, Ιδου, εγω ωνειδισα την παραταξιν Ισραηλ σημερον εν τῃ ἡμερᾳ ταυτῃ· δοτε μοι ανδρα, και μονομαχησομεν αμφοτεροι. Και ηκουσε Σαουλ ϗ πας Ισραηλ τα ῥηματα τȣ αλλοφυλου ταυτα, ϗ εξεστησαν, ϗ εφοβηθησαν σφοδρα. Και ειπε Δαυιδ προς Σαουλ· Μη δη συμπεσετω καρδια του κυριου μου επ' αυτον· ὁ δουλος σου πορευσεται και πολεμησει μετα του αλλοφυλου τουτου. Και ειπε Σαουλ προς τον Δαυιδ· Ου μη δυνησῃ πορευθηναι προς τον αλλοφυλον του πολεμειν μετ' αυτου, ὁτι παιδαριον ει συ, και αυτος ανηρ πολεμιστης εκ νεοτητος αυτου. Και ειπε Δαυιδ προς Σαουλ, Ποιμαινων ην ὁ δουλος σου

τῳ

τῳ πατρι αυτου εν τῳ ποιμνιῳ· και ὁταν ηρχετο ὁ λεων, και ἡ αρκτος, και ελαμβανε προβατον εκ της αγελης, και εξεπορευομην οπισω αυτου και επαταξα αυτον, και εξεσπασα εκ του στοματος αυτου· και ει επανιστατο επ' εμε, και εκρατησα του φαρυγγος αυτου, και επαταξα, και εθανατωσα αυτον. Και τον λεοντα και την αρκτον ετυπτεν ὁ δουλος σου, και εσται ὁ αλλοφυλος ὁ απεριτμητος ὡς ἑν τουτων· ουχι πορευσομαι και παταξω αυτον, και αφελω σημερον ονειδος εξ Ισραηλ; διοτι τις ὁ απεριτμητος οὑτος, ὁς ωνειδισε παραταξιν Θεου ζωντος; Κυριος ὁς εξειλατο με εκ χειρος του λεοντος και εκ χειρος της αρκτου, αυτος εξελειται με εκ χειρος του αλλοφυλου του απεριτμητου τουτου· και ειπε Σαουλ προς Δαυιδ· Πορευου, και εσται Κυριος μετα σου. Και ενεδυσε Σαουλ τον Δαυιδ μανδυαν, και την περικεφαλαιαν χαλκην περι την κεφαλην αυτου, και εζωσε τον Δαυιδ την ῥομφαιαν αυτου επανω του μανδυου αυτου· και εκοπιασε περιπατησας ἁπαξ και δις· και ειπε Δαυιδ προς Σαουλ, Ου μη δυνωμαι πορευθηναι εν τουτοις, ὁτι ου πεπειραμαι· και αφαιρουσιν αυτα απ' αυτου. Και ελαβε την βακτηριαν αυτου εν τῃ χειρι αυτου· και εξελεξατο ἑαυτῳ πεντε λιθους λειους εκ του χειμαῤῥου, και εθετο αυτους εν τῳ καδιῳ τῳ ποιμενικῳ τῳ οντι αυτῳ εις συλλογην, και σφενδονη αυτου εν τῃ χειρι αυτου· και προσηλθε προς

τον

τον ανδρα τον αλλοφυλον. Και ειδε Γολιαθ τον Δαυιδ, και εξητιμασεν αυτον· ότι αυτος ην παιδαριον, και αυτος πυῤῥακης μετα καλλους οφθαλμων. Και ειπεν ὁ αλλοφυλος προς Δαυιδ· Ὡσει κυων εγω ειμι, ὅτι συ ερχη επ' εμε εν ῥαβδῳ και λιθοις; Και ειπε Δαυιδ. Ουχι, αλλ' η χειρων κυνος. Και κατηρασατο ὁ αλλοφυλος τον Δαυιδ εν τοις θεοις αυτου. Και ειπεν ὁ αλλοφυλος προς Δαυιδ, Δευρο προς με, και δωσω τας σαρκας σου τοις πετεινοις του ουρανου και τοις κτηνεσι της γης. Και ειπε Δαυιδ προς τον αλλοφυλον· Συ ερχῃ προς με εν ῥομφαιᾳ και εν δορατι και εν ασπιδι, κα'γω πορευομαι προς σε εν ονοματι Κυριου Θεου σαβαωθ παραταξεως Ισραηλ, ἣν ωνειδισας. Σημερον, και αποκλεισει σε Κυριος σημερον εις την χειρά μου, και αποκτενω σε, και αφελω την κεφαλην σου απο σου, και δωσω τα κωλα σου και τα κωλα παρεμβολής αλλοφυλων εν ταυτῃ τῃ ἡμερᾳ τοις πετεινοις του ουρανου και τοις θηριοις της γης· και γνωσεται πασα ἡ γη, ὅτι εστι Θεος εν Ισραηλ. Και γνωσεται πασα ἡ εκκλησια αὑτη, ὅτι ουκ εν ῥομφαιᾳ και δορατι σωζει Κυριος, ὅτι του Κυριου ὁ πολεμος, και παραδωσει Κυριος ὑμας εις χειρας ἡμων. Και ανεστη ὁ αλλοφυλος και επορευθη εις συναντησιν Δαυιδ. Και εξετεινε Δαυιδ την χειρα αυτου εις το καδιον, και ελαβεν εκειθεν λιθον ἑνα, και εσφενδονησε, και επαταξε τον αλλοφυλον εις το

μετωπον

και περισκυθισαντας ακρωτηριαζειν, των λοιπων αδελφων, και της μητρος, συνορωντων. Αχρηστον δε αυτον τοις όλοις γενομενον, εκελευσε τη πυρα προσαγειν εμπνουν, και τηγανιζειν· της δε ατμιδος εφ' ἱκανον διαδιδουσης του τηγανου, αλληλους παρεκαλουν συν τη μητρι γενναιως τελευταν, λεγοντες οὑτως· Ὁ Κυριος ὁ Θεος εφορα, και ταις αληθειαις εφ' ἡμιν παρακαλειται, καθαπερ δια της κατα προσωπον αντιμαρτυρουσης ῳδης διεσαφησε Μωυσης, λεγων· Και επι τοις δουλοις αυτου παρακληθησεται. Μεταλλαξαντος δε του πρωτου τον τροπον τουτον, τον δευτερον ηγον επι τον εμπαιγμον· και το της κεφαλης δερμα συν ταις θριξι περισυραντες, επηρωτων· Ει φαγεσαι προ του τιμωρηθηναι το σωμα κατα μελος; Ὁ δε αποκριθεις τη πατριω φωνη ειπεν· Ουχι· διοπερ και οὑτος την ἑξης ελαβε βασανον, ὡς ὁ πρωτος. Εν εσχατη δε πνοη γενομενος, ειπε· Συ μεν αλαστωρ εκ του παροντος ἡμας ζην απολυεις, ὁ δε του κοσμου βασιλευς αποθανοντας ἡμας ὑπερ των αυτου νομων εις αιωνιον αναβιωσιν ζωης ἡμας αναστησει. Μετα δε τουτον ὁ τριτος ενεπαιζετο, και την γλωσσαν αιτηθεις ταχεως προεβαλε, και τας χειρας ευθαρσως προετεινε, και γενναιως ειπεν· Εξ ουρανου ταυτα κεκτημαι, και δια τους αυτου νομους ὑπερορω ταυτα, και παρ' αυτου ταυτα παλιν ελπιζω κομισασθαι. Ὡστε αυτον τον βασιλεα και τους

συν

συν αυτῳ εκπλησσεσθαι την του νεανισκου ψυχην, ὡς εν ουδενι τας αλγηδονας ετιθετο. Και τουτου δε μεταλλαξοντος, τον τεταρτον ὡσαυτως εβασανιζον αικιζομενοι. Και γενομενος προς το τελευταν, οὑτως εφη· Αἱρετον μεταλλασσοντας ὑπ' ανθρωπων τας ὑπο του Θεου προσδοκαν ελπιδας, παλιν αναστησεσθαι ὑπ' αυτου· σοι μεν γαρ αναστασις εις ζωην ουκ εσται. Εχομενως δε τον πεμπτον προσαγοντες ηκιζοντο. Ὁ δε προς αυτον ιδων, ειπεν· Εξουσιαν εν ανθρωποις εχων φθαρτος ων, ὁ θελεις, ποιεις· μη δοκει δε το γενος ἡμων ὑπο του Θεου καταλελειφθαι. Συ δε καρτερει, και θεωρει το μεγαλειον αυτου κρατος, ὡς σε και το σπερμα σου βασανισει. Μετα δε τουτον ηγον τον ἑκτον, και μελλων αποθνησκειν, εφη· Μη πλανω ματην, ἡμεις γαρ δι' ἑαυτους ταυτα πασχομεν ἁμαρτανοντες εις τον ἑαυτων Θεον, διο αξια θαυμασμου γεγονε. Συ δε μη νομισῃς αθωος εσεσθαι, θεομαχειν επιχειρησας. Ὑπεραγοντως δε ἡ μητηρ θαυμαστη και μνημης αγαθης αξια, ἡτις απολλυμενους υἱους ἑπτα συνορωσα μιας ὑπο καιρον ἡμερας, ευψυχως εφερε δια τας επι Κυριον ελπιδας. Ἑκαστον δε αυτων παρεκαλει τῃ πατριῳ φωνῃ, γενναιῳ πεπληρωμενη φρονηματι, και τον θηλυν λογισμον αρσενι θυμῳ διεγειρασα, λεγουσα προς αυτους· Ουδ' οιδ' ὁπως εις την εμην εφανητε κοιλιαν, ουδε εγω το πνευμα και την ζωην ὑμιν εχαρισαμην, και την

ἑκαστου

ἑκαστου στοιχειωσιν ουκ εγω διερυθμισα. Τοιγαρουν ὁ του κοσμου κτιστης, ὁ πλασας ανθρωπου γενεσιν, και παντων εξευρων γενεσιν, και το πνευμα και την ζωην ὑμιν παλιν αποδωσει μετ' ελεους, ὡς νυν ὑπερορατε ἑαυτους δια τους αυτου νομους. Ὁ δε Αντιοχος οιομενος καταφρονεισθαι, και την ονειδιζουσαν ὑφορωμενος φωνην, ετι του νεωτερου περιοντος, ου μονον δια λογων εποιειτο την παρακλησιν, αλλα και δι' ὁρκων επιστου, ἁμα πλουτιειν και μακαριστον ποιησειν μεταθεμενον απο των πατριων νομων, και φιλον ἑξειν, και χρειας εμπιστευσειν. Του δε νεανιου μηδαμως προσεχοντος, προσκαλεσαμενος ὁ βασιλευς την μητερα, παρῄνει του μειρακιου γενεσθαι συμβουλον επι σωτηρια. Πολλα δε αυτου παραινεσαντος, επεδεξατο πεισειν τον υἱον. Προσκυψασα δε αυτῳ, χλευασασα τον ωμον τυραννον, οὑτως εφησε τῃ πατρῴᾳ φωνῃ· Υἱε, ελεησον με την εν γαστρι περιενεγκασαν σε μηνας εννεα, και θηλασασαν σε ετη τρια, και εκθρεψασαν σε και αγαγουσαν εις την ἡλικιαν ταυτην, και τροφοφορησασαν. Αξιω σε, τεκνον, αναβλεψαντα εις τον ουρανον και την γην, και τα εν αυτοις παντα ιδοντα, γνωναι ὁτι εξ ουκ οντων εποιησεν αυτα ὁ Θεος, και το των ανθρωπων γενος οὑτως γεγενηται· μη φοβηθῃς τον δημιον τουτον, αλλα των αδελφων αξιος γενομενος επιδεξαι τον θανατον, ἱνα εν τῳ ελεει συν τοις αδελφοις σου

κομισω-

κομισωμαι σε. Ετι δε ταυτης καταλεγουσης, ὁ νεανιας ειπε· Τινα μενετε; ουχ ὑπακουω του προσταγματος του βασιλεως· του δε προσταγματος ακουω του νομου του δοθεντος τοις πατρασιν ἡμων δια Μωυσεως. Συ δε πασης κακιας εὑρετης γενομενος εις τους Ἑβραιους, ου μη διαφυγῃς τας χειρας του Θεου. Ἡμεις γαρ δια τας ἑαυτων ἁμαρτιας πασχομεν. Ει δε χαριν επιπληξεως και παιδειας ὁ ζων Κυριος ἡμων βραχεως επωργισται, και παλιν καταλλαγησεται τοις ἑαυτου δουλοις. Συ δε, ω ανοσιε, και παντων ανθρωπων μιαρωτατε, μη ματην μετεωριζου φρυαττομενος αδηλοις ελπισιν, επι τους δουλους αυτου επαιρομενος χειρα. Ουπω γαρ την του παντοκρατορος εποπτου Θεου κρισιν εκπεφευγας. Οἱ μεν γαρ νυν ἡμετεροι αδελφοι βραχυν ὑπενεγκαντες πονον, αενναου ζωης ὑπο διαθηκην Θεου πεπτωκασι· συ δε τῃ του Θεου κρισει δικαια τα προστιμα της ὑπερηφανιας αποισῃ. Εγω δε καθαπερ οἱ αδελφοι μου, και σωμα, και ψυχην προδιδωμι περι των πατριων νομων, επικαλουμενος τοι Θεον ἱλεων ταχυ τῳ εθνει γενεσθαι, και σε μετα ετασμων και μαστιγων εξομολογησασθαι, διοτι μονος αυτος Θεος εστιν, εν εμοι δε και τοις αδελφοις μου στηναι την του παντοκρατορος οργην την επι το συμπαν ἡμων γενος δικαιως επηγμενην. Εκθυμος δε γενομενος ὁ βασιλευς, τουτῳ παρα τους αλλους χειριστως απηντησε,

τησε, πικρως φερων επι τῳ μυκτηρισμῳ. Και οὗτος ουν καθαρος τον βιον μετηλλαξε, παντελως επι τῳ Κυριῳ πεποιθως. Εσχατη δε των υἱων ἡ μητηρ ετελευτησε.

II.

EX MELITONE.

[In Catenâ Græcâ in Genesin.]

Annotationes in Isaaci immolationem.

ΚΑΙ ὁ Κυριος ἡμων Ιησους Χριστος ὡς κριος εδεθη, και ὡς αμνος εκαρη, και ὡς προβατον εις σφαγην ηχθη, και εσταυρωθη· και εβαστασε το ξυλον επι τοις ωμοις αυτου, αναγομενός σφαγηναι ὡς Ισαακ ὑπο του πατρος αυτȣ· αλλα Χριστος επαθεν· Ισαακ δε ουκ επαθε· τυπος γαρ ην του μελλοντος πασχειν Χριστου· αλλα και ὁ τυπος του Χριστου γενομενος εκπληξιν και φοβον παρειχεν τοις ανθρωποις. Ην γαρ θεασασθαι μυστηριον καινον, υἱον αγομενον ὑπο του πατρος επ' ορος εις σφαγην, ὁν συμποδισας εθηκεν επι τα ξυλα της καρπωσεως, ἑτοιμαζων μετα σπουδης τα προς την σφαγην αυτου. Ὁ Ισαακ σιγᾳ πεπεδημενος ὡς κριος, ουκ ανοιγων το στομα, ουδε φθεγγομενος φωνῃ. Το γαρ ξιφος ου φοβηθεις, ουδε το πυρ πτοηθεις, ουδε το παθειν λυπηθεις, εβαστασεν καρτερων τον τυπον του Κυριου. Ην ουν εν μεσῳ προκειμενος Ισαακ πεποδισμενος ὡς κριος, και Αβρααμ

Αβρααμ παρεστως και κρατων γυμνον το ξιφος, ουκ αιδουμενος φονευσαι τον υἱον αυτου.

Ὑπερ Ισαακ του δικαιου εφανη κριος εις σφαγην, ἱνα δεσμων Ισαακ λυθη· εκεινος σφαγεις ελυτρωσατο τον Ισαακ· οὑτω και ὁ Κυριος σφαγεις εσωσεν ἡμας, και δεθεις ελυσε, και θυθεις ελυπτρωσατο.

Ην γαρ ὁ Κυριος ὁ αμνος ὡς κριος, ὁν ειδεν Αβρααμ κατεχομενον εν φυτῳ Σαβεκ, αλλ το φυτον απεφαινε τον σταυρον, και ὁ τοπος εκεινος την Ἱερουσαλημ, και ὁ αμνος τον Κυριον εμπεποδισμενον εις σφαγην.

III.

EX HEGESIPPO.

[Apud Eusebium, Hist. Eccles. III. 20.]

De Judæ Nepotibus apud Domitianum reis.

Ετι δε περιησαν οἱ απο γενους του Κυριου υἱωνοι Ιουδα, του κατα σαρκα λεγομενου αυτου αδελφου, οὑς εδηλατορευσαν, ὡς εκ γενους οντας Δαβιδ. Τουτους δ' ὁ ιουοκατος ηγαγε προς Δομετιανον Καισαρα· εφοβειτο γαρ την παρουσιαν του Χριστου, ὡς και Ἡρωδης· και επηρωτησεν αυτους, ει εκ Δαβιδ εισι· και ὡμολογησαν. Τοτε ηρωτησεν αυτους, ποσας κτησεις εχουσιν, η ποσων χρηματων κυριευουσιν. Οἱ δε

ειπον

ειπον αμφοτεροι, ενναχιχιλια δηναρια ὑπαρχειν αυτοις μονα, εκαστῳ αυτων ανηκοντος του ἡμισεως· και ταυτα ουκ εν αργυριοις εφασκον εχειν, αλλ' εν διατιμησει γης πλεθρων τριακοντα εννεα μονων· εξ ὡν και τους φορους αναφερειν, και αυτους, αυτουργουντας διατρεφεσθαι· ειτα δε και τας χειρας τας ἑαυτων επιδεικνυναι· μαρτυριον της αυτουργιας την του σωματος σκληριαν, και τους απο της συνεχους εργασιας εναποτυπωθεντας επι των ιδιων χειρων τυλους παριστανταςꞏ ερωτηθεντας δε περι του Χριστου και της βασιλειας αυτου, ὁποια τις ειη, και ποτε, και ποι φανησομενη, λογον δουναι, ὡς ου κοσμικη μεν ουδ' επιγειος, επουρανιος δε και αγγελικη τυγχανει, επι συντελειᾳ του αιωνος γενησομενη, ὁπηνικα ελθων εν δοξῃ κρινειε ζωντας και νεκρους, και αποδωσει ἑκαστῳ κατα τα επιτηδευματα αυτου· εφ' οἱς μηδεν αυτων κατεγνωκοτα τον Δομετιανον, αλλα και ὡς ευτελων καταφρονησαντα, ελευθερους μεν αυτους ανειναι, καταπαυσαι δε δια προσταγματος τον κατα της εκκλησιας διωγμον· τους δε απολυθεντας ἡγησασθαι των εκκλησιων, ὡς αν δη μαρτυρας ὁμου και απο γενους οντας του Κυριου· γενομενης τε ειρηνης, μεχρι Τραϊανου παραμειναι αυτους τῳ βιῳ.

FINIS PARTIS TERTIÆ.

NOTÆ

AD

COLLECTANEA GRÆCA MINORA:

IN GRATIAM TIRONUM.

EDITIO NOVA, PRIORIBUS EMENDATIOR.

NOTÆ

AD

EXCERPTA EX PROSÆ SCRIPTORIBUS.

I. Notæ in Æsopum.

1. ΑΙΣΩΠΟΥ ΜΥΘΟΙ.] Hoc est—Æsopi Fabulæ. Floruisse dicitur Æsopus circiter Annum Mundi 3433. Olymp. lii. i. Ante Christum natum 570. Ortus est Cotyæo, Phrygiæ oppido; conditione Servus. Primò inserviebat Xantho, cuidam Lydo; postremò Iadmoni, homini Samio, à quo manumissus est. Libertatem nactus, peregrè profectus est; et post varia facta itinera, tandem, ob ingenii ac sapientiæ famam, à Crœso Lydorum rege Sardes in regiam accitus est. Sardibus diu commoratus, Delphos à Crœso tandem missus est; ibique sacrilegii fraudulenter accusatus, deque rupe Phædriade præcipitatus, morte indignâ periit. Quæ autem Monachus ille mendax Planudes de vitâ ejus, et præsertim de corporis ipsius deformitate, contexuit, illa quidem meræ sunt ineptiæ. De eo tanquam Fabellarum auctore mentionem sæpenumerò fecerunt multi scriptores antiqui. Utrum verò quæ hodie sub ejus nomine circumferuntur Fabulæ, ipsius sint necne, valdè est incertum; immo potius viri inter Recentiores doctissimi illas ab eo prorsus abjudicârunt; quorum præcipuus est vir magni nominis Richardus Bentleius, in dissertatione suâ celeberrimâ de Epistolis Phalaridis, Themistoclis, Socratis, Euripidis, aliorumque; deque Fabulis Æsopi; Anglicè conscriptâ, et primum impressâ Londoni A. D. 1697. [Vide autem Dissert. de Babrio; auctore Th. Tyrwhitt. Lond. 1776. p. 25.] In grandioribus quidem Æsopicarum Fabularum collectionibus

3.

